λίθου, τὸν Κρόνον ὀφίτου λίθου, τὸν ὡροσκόπον λυγδίνου λίθου. καὶ
εἶπεν· 'Λέξον μοι βασίλισσα ἐνιαυτόν, μῆνα καὶ τὴν ἡμέραν καὶ τὴν ὥραν 7
τῆς ἑαυτῆς γεννήσεως.' Τῆς δὲ εἰρηκυίας ὁ Νεκτανεβὼς ψηφίζει τὴν
ἑαυτοῦ καὶ τὴν αὐτῆς γέννησιν, εἰ συναστρεῖ. ἰδὼν δὲ εὖ κειμένην τὴν
ἀστροθεσίαν φησί· 'Τί θέλεις ἀκοῦσαι βασίλισσα'; Ἡ δὲ εἶπε· 'Τὰ περὶ
τὸν Φίλιππον μαθεῖν θέλω· φημίζεται γάρ μοι μετὰ τὸν πόλεμον ἀπο-
βαλεῖν με καὶ γαμεῖν ἄλλην.' Ὁ Νεκτανεβὼς εἶπε· 'Ψευδὴς ἡ φήμη γέγονε 8
βασίλισσα τοῦ νῦν χωρισμοῦ· μετὰ καιρὸν γὰρ ὄντως τοῦτο γίνεται. πλὴν
δύναμαί σοι ὡς Αἰγύπτιος προφήτης ⟨καὶ⟩ μάγος εἰς πολλὰ βοηθὸς
γενέσθαι, ὅταν μου ⟨ἐπὶ⟩ πράγει τοιούτῳ χρεία γίνηται. τὸ γὰρ νῦν
εἵμαρταί σοι, καθ' ἣν τέθεικές μοι σαυτῆς γένεσιν, θεῷ ἐπιγείῳ συνελθεῖν

1 *ἥλιος καὶ σελήνη* A 2 *ἒξ* A *τῶν ὡροσκόπων ἐξισοτέχνων* A *ex octo lapidibus artificatis* Leo *Edelsteine von acht Arten von Edelsteinen* Syr. (cf. Herm. 26, 316). 3 Fuitne *ἐξ ὀκτὼ λίθων τεχνητῶν συν. τὸν μέγαν οὐρ.*? an *τεχνητούς, οὓς μετ' ἀλλήλων*? (*er brachte sie in Beziehung zu den anderen Edelsteinen* Syr.) *συντέθηκεν* A *ἔθηκε* L 4 *περιφωτιάσας* L (verbum in AL tantum extans quid sibi velit nescio; an *περιφράξας*?) *προσθεὶς* L *κρυστ. λίθου* om. L. 5 *τὴν δὲ* L *ἀέρα* A *ἀδαμαντίνην* L, qui in seqq. *αἱματίτου* etc. sine *λίθου*. Ordines similes habent Theophilus (Maximus ed. Ludw. 121, 5. Catal. astrol. IV 122) et Anon. Catal. VII 95 (Bouché-Leclercq L'astrologie 316) 6 *αἰθερίτης* ignotus (*aereus* Val. B' *ἀέρινος* Arm.); Theoph. Jovi beryllum et quemlibet album lapidem attribuit 7 *τὸν* ante *ὡρ.* om. A *λυγδίτου* L add. Arm. *θαυμάσασα δὲ ἡ Ὀλ. τὴν πολυτέλειαν καὶ τῶν ἀστέρων τὴν θαυμαστὴν θέαν παρεκάθητο αὐτῷ καὶ ἐκέλευσε πάντας ἐξιέναι* (cf. B' Val.) Deinde Arm. (B' Val., sim. Leo) reginam dicentem faciunt: *σκέψαι τὴν ἐμοῦ καὶ Φιλίππου γένεσιν. φημίζεται* (v. 12) *κτλ.* Syr. = A 8 *ὥραν* L: *νύκτα* A 10 *ἑαυτῆς καὶ τὴν ἑαυτοῦ* L *συναστρεῖ*: cf. Boll Sokr. V 1 *εὖ κειμένην* L: *συγκειμένην* A *als er sah, daß sie genau gleich wären* Syr. 11 *ἀστρονομίαν* L *βασιλίς* L 12 *ἐφημίζετο* B' *ἀποβάλλειν* A 13 in B' (Arm. Val.) magus dicit: *θὲς τὴν σὴν γένεσιν καὶ τοῦ Φιλίππου κτέ.* *οὐκ ἔστι ψεῦδος* B' Val. Arm. 14 *νῦν χρόνος μεταμελος γὰρ ὄντος τοῦτο γεννήσεται* L 15 *μάγος* om. B' Arm. Val. (habet Syr.) *πολλὸν* L *βοηθὸς* om. A (et possis *σύμμαχος* pro *μάγος*) *βοηθῆσαι τοῦ μὴ ἀπόβλητόν σε γενέσθαι ὑπ' αὐτοῦ· καὶ ἐὰν γένῃ, εὑρήσεις τὸν ἐκδικήσοντά σε. ἡ δὲ Ὀλ. λέγει· Πῶς ἔστι τοῦτο; ὁ δὲ λέγει· εἵμαρταί σοι* . . . Arm. (B' Val.) 16 *μου πρὸς τὸ τοιοῦτον χ. γέννηται* L *γίνεται* A 17 *καθ' ἣν*: *καταγῆν* A *κατὰ τὴν* L *αὐτῆς* A *θεῷ γὰρ ἐπ. συν. σε δεῖ* L

*καὶ ἐξ αὐτοῦ σύλληψιν ἔχειν καὶ παιδοποιηθῆναί σοι ἔκδικον γενόμενον
τέκνον τῶν ὑπὸ Φιλίππου γενομένων ἁμαρτημάτων.' Ἡ δὲ εἶπε· 'Καὶ* 9
*τίς ἐστιν, ὃν λέγεις θεόν μοι συνευνάζεσθαι;' Ὁ δὲ εἶπεν· ''Ὁ τῆς Λιβύης
κεραὸς πλουτηφόρος Ἄμμων.' Ἡ δὲ εἶπε· 'Ποῖός ἐστιν οὗτος τὴν ἡλικίαν,
νέος ⟨ἢ⟩ μεσῆλιξ; τὸν δὲ χαρακτῆρα ποῖός ἐστιν;' Ὁ δὲ εἶπε· 'Τὴν μὲν
ἡλικίαν μεσῆλιξ, πολιὸς τὴν χαίτην, κέρατα κριοῦ ἐπὶ τῶν κροτάφων ἔχων.
[ὥστε ἑτοίμασον σαυτὴν ὡς γυνὴ καὶ βασίλισσα πρὸς τοὺς γάμους,] καὶ
θεωρήσεις ὄνειρον καὶ θεόν σοι συγγινόμενον.' Ὀλυμπιὰς εἶπε· 'Πότε;'* 10
*Ὁ δὲ εἶπεν· 'οὐ μακράν· σήμερον. διὸ καὶ προτρέπομαί σε περὶ σαυτὴν
γενέσθαι καθὼς βασιλίδα γυναῖκα· περιπλακήσεται γάρ σοι ταύτῃ τῇ νυκτὶ
δι' ὀνείρων.' Ἡ δὲ εἶπε· 'Τοῦτο ἐὰν ἴδω, οὐχ ὡς προφήτην ἢ μάγον,
ἀλλ' ὡς θεόν σε προσκυνήσω.'*

Οὕτως αὐτῶν ὁμιλησάντων ἐξέρχεται Νεκτανεβὼς ἐκ τῶν βασιλείων. 5
*ἀναβολὴν δὲ μηδεμίαν ποιησάμενος ἐπὶ τὴν ἔρημον δραμὼν τίλλει βοτάνας
τὰς πρὸς ὀνειροπομπίαν ἁρμοζούσας, δι' ὧν μαγεύσας τὸν Ὀλυμπιάδος
ὕπνον ὄνειρον ἀναγεννᾷ ἧς ἤθελε πράξεως, ὥστε ἀληθῶς κατ' ὄναρ ἰδεῖν
τὴν Ὀλυμπιάδα περιπλακέντα αὐτῇ τὸν Ἄμμωνα καὶ συνερχόμενον. ἀνιστάμε-
νος δὲ λέγει· 'Γύναι, κατὰ γαστρὸς ἔχεις σὸν ἔκδικον γινόμενον.'*

Ἀναστᾶσα οὖν τῶν ὕπνων ἡ Ὀλυμπιὰς καί τὸ σύμφωνον τοῦ λόγου 6
*θαυμάσασα μετεπέμψατο τὸν μαθηματικὸν καί φησιν· 'Εἶδον ὃν εἶπές μοι
θεόν, καὶ συνῆλθέν μοι καθὼς μάκαρ ἰδίως· ὥστε με καὶ βούλεσθαι γρη-*

1 *σύλλημα* L *συλλαβεῖν καὶ τεκεῖν υἱὸν καὶ ἀναθρέψαι* B′ *σὸν* A 2 *γεν. πρὸς σὲ* B′ *καὶ τίς* A: *ποῖος θεός* (om. *θεὸν*) L 3 *συνεύξασθαι* A *σὺν εὐνοῆσθαι* L *συνευνήσεσθαι* Meusel 4 *ἡ δὲ — 8 συγγινόμενον* om. A; sane verba *ὥστε — γάμους* nil nisi repetunt quae v. 9 dicuntur *ποῖος* L: *ποταπὸς* B′ (Val.) 5 *ἢ* add. ex Arm. an *τόν τε*? 6 *χρυσόκομος τὴν χαίτην καὶ τὰ γένεια* B′ 8 *σήμερον γὰρ ἐν ὀνείρῳ θεωρ.* B′ nempe *τὸν θεὸν* *Ὀλ. εἶπε — 11 ὀνείρων* soli habent AL Syr. 9 desidero *ἕτοιμον*, nisi fuit *περισσὴν* (*schmücke dich reich wie eine Königin*) Syr.) 10 *βασιλίδι* A nempe *καὶ γυν.* (cf. Val.) *σοὶ γὰρ* A 11 *ἐὰν ἴδω τὸν ὄνειρον τοῦτον* B′ 13 *αὐτὸν ὁμιλησάντων* A (Syr.): *εἰπὼν* L Leo 14 *ἀναμονὴν* L 15 *τὰς* om. L. *ὀνειροπομπίας* A — *πόμπιον* L *ὀνειροπολίαν* B′ *δι' ὧν μαγ.* om. L; plura fuisse in A′ docent (B′) Arm., qui sic: *ταύτην* (sc. plantam) *εὖ ἑψήσας* (*ταύτας χυλώσας* B′ Syr.) *πλάσσει θῆλυ σῶμα κήρινον καὶ ἐπιγράφει τῇ εἰκόνι τὸ τῆς Ὀλ. ὄνομα κ. ποιήσας λεκτίδιον κήρινον ἐτίθει ἐπ' αὐτοῦ τὸ πλάσμα τῆς Ὀλ. κ. ἅψας λύχνον κ. ἐπιβαλὼν τὸ τῆς βοτάνης ἕψημα ἔλεγεν ἐπ' αὐτοῦ ὅρκους πρὸς τοῦτο πεποιημένους* (*ἐπεκαλεῖτο ὅρκοις τοὺς πρὸς τοῦτο πεπ. δαίμονας* B′ *carmen efficax et secretum* Val.), *ὥστε φαντασιοῦσθαι τὴν Ὀλ. ἐθεώρησε γὰρ περιπεπλ. κτλ.* *ὀλυμπιάδου* A 16 *γεννᾶ* L 17 *αὐτῇ* post *συνερχ.* L *ἀνισταμένη λέγειν* L 18 *σὸν* A Leo: *υἱὸν* L *ἄρρενα τὸν ἔκδ. σου γ.* B′ *ἔκδικος* A *γενόμενον* L 19 *τῶν λόγων* L 20 *μαθ. καταμόνας* L (cf. Syr.) *ἴδε* L *εἶδον τὸν ὄνειρον κ. ὃν εἶπές μ. θεὸν Ἄμμωνα* B′ (Syr.) 21 *συνεισῆλθε* L *ἰδίως* A *εἴδη ἡδέως* L *agebat mecum nuptiae secretum* Val. Deleas *καθ. μ. ἰδ.* *καθὼς — 7, 4 σκέψιν* om. L (habet Syr.)

γορoῦσαν αὐτῷ κοινωνεῖν καθ' ἡμέραν. σοὶ οὖν μελήσει καὶ τοῦτο. πῶς
δέ σε τοῦτο λανθάνει θαυμάζω.' Ὁ δὲ εἶπεν· 'Οὐδέν με λανθάνει· ἐπειδὴ 2
δὲ ὁμολογεῖς γρηγοροῦσα θέλειν αὐτῷ συνέρχεσθαι, δεῖ τινὰ πρὸς τοῦτο
γενέσθαι σκέψιν. ἄλλο ὄνειρος, ἄλλο αὐτοψία. λογίζομαι οὖν χωρημάτιον
λαβεῖν ὑπὸ σοῦ πλησίον τοῦ κοιτῶνος σοῦ, ὅπως ἐρχομένου τοῦ θεοῦ πρὸς
σὲ φόβῳ τινὶ μὴ περισχεθῇς ὑπουργοῦντός μου ταῖς ἐμαυτοῦ ἐπαοιδαῖς.
ὁ γὰρ θεὸς οὗτος ἐρχόμενος πρὸς σὲ γίνεται πρῶτον δράκων ἐπὶ γῆς ἕρπων 3
συρισμὸν πέμπων, εἶτα ἀλλάσσεται εἰς κεραὸν Ἄμμωνα, εἶτα εἰς ἄλκιμον
Ἡρακλέα, εἶτα εἰς θυρσοκόμον Διόνυσον· εἶτα συνελθὼν ἀνθρωποειδὴς
θεὸς ἐμφανίζεται τοὺς ἐμοὺς τύπους ἔχων.' Ὀλυμπιὰς εἶπε· 'Καλῶς
λέγεις προφῆτα· λάβε τὸν κοιτῶνα. ἐπὰν δὲ γρηγοροῦσα τοῦτον ἴδω, 4
μάθω δὲ τὴν θεοῦ σπορὰν κατεσχηκυῖαν ἐμαυτήν, τιμήσω σε καθὼς
βασιλίς, καυχήσομαι δέ σε ὡς καὶ πατέρα τοῦ παιδὸς τυγχάνοντα.' Ὁ δὲ
εἶπεν· 'Προεῖπόν σοι τὸν τοῦ δράκοντος συρισμόν, μὴ πτυρῇς τὸ κῆτος,
μᾶλλον δὲ προσηνὴς αὐτῷ καὶ ἄδειλος ἔσῃ.'

Γενομένων οὖν πάντων τῶν προειρημένων οὐκ ἐδειλίασεν ἡ βασίλισσα, 7
ἀλλ' εὐθαρσῶς ἤνεγκε τὰς τῶν θεῶν μεταμορφώσεις. ὁ δὲ πάλιν ἀνιστάμε-
νος ἀπ' αὐτῆς, τύψας αὐτῆς τὴν γαστέρα εἶπε· 'Σπέρματα ἀνίκητα καὶ

---

1 σὺ οὖν μὴ ἀμελήσῃς L μελίσηι A olim fuit τοῦτο. ὁ δὲ εἶπεν· ἐπειδὴ ὁμολ. Quae turbata sunt additamentis e cap. 7 (ad. p. 8, 4) illatis ὃσ δὲ A 3 δὲ L: σε A γρηγ. ὡμολόγεις A (γρηγορῶσαν L) διά τινα A 4 ἄλλο γὰρ ὄν. καὶ ἄλλο L *quia aliud est somnium atque aliud veritas* Leo 6 τινὶ μὴ L: τῶι ἐμῶι A περισχιθῇς A σχεσθῆναί σε L 7 ὁ γὰρ — 10 ἔχων contrahunt cett. pr. Syr. Ita B': ἡ δὲ εἶπεν· ἰδοὺ ἐν τῷ κοιτῶνί μου δέξαι χώρημα· καὶ ἐὰν ἐπιτύχω τῆς συλλήψεως τοῦ θεοῦ τούτου, μέλλω σε τιμῆσαι ὡς βασίλισσα κ. χρήσομαί σοι ὡς πατέρα τοῦ παιδίου τυγχάνοντα = l. 13 9 εἰς om. A συνελθὼν: *kommt er wieder* Syr. 12 καθεστηκυῖαν L ἐμαυτῆι A (et possis κατεσχηκυῖα ἐν ἐμ.) 13 σχήσομαι L Leo seqq. prolixiora in Arm. (Val. B'): κέλευσον τοὺς παρόντας ἐξελθεῖν· σὺ δὲ μὴ ἀποσβέσῃς τὸ φῶς (τὰ φῶτα B') τῶν λύχνων, ἀλλ' ἀνάστηθι κ. καθέζου εἰς τὴν κλίνην σου κ. συγκάλυψον τὸ πρόσωπον. πάλιν ὁρᾷς τὸν θεόν, ὃν εἶδες ἐν ὀνείρῳ εἰσελθόντα πρός σε. ταῦτα λέγων ἐξῆλθεν. 14 συριγμόν L 15 ἄδηλος A ἴσθι L 16 plura in cett. (non in Byz. Syr.). Arm. sic: κ. τῇ ἐπαύριον ἔδωκεν αὐτῷ πλησίον τοῦ κοιτῶνος αὐτῆς ἕτερον κοιτῶνα. ὁ δὲ ἡτοίμασε πόκον κριοῦ ἁπαλώτατον σὺν τοῖς κέρασι τῶν κροτάφων καὶ σκῆπτρον (ἐβένινον add. B') κ. ἱμάτιον λευκόν. κ. λαβὼν δράκοντα ἐποίησεν αὐτὸν ἀσθενῆ κ. ἔκλυτον (*mansuetum et innoxie gradientem* Val.) κ. ἐκ τῶν χειρῶν αὐτοῦ ἕρπειν κ. ἐξαίφνης ἐξαίρεσθαι τὸν δράκοντα. ὁ δὲ εἰσῆλθεν (*vespere* add. Val.) εἰς τὸν Ὀλ. κοιτῶνα· ἡ δὲ ἰδοῦσα οὐκ ἐφοβήθη αὐτόν — τοῦτον γὰρ προσεδόκα — κ. ἐκέλευσε τοὺς παρόντας ἐξέρχεσθαι ἕκαστον εἰς τὸν ἴδιον τόπον κ. ἀνεκλίθη εἰς τὴν κλίνην κ. καλύψασα τὸ πρόσωπον ἄκρῳ τῷ ὀφθαλμῷ εἶδεν αὐτὸν εἰσερχόμενον, οἷον εἶδεν ἐν ὀνείρῳ. ὁ δὲ ἀποθέμενος τὸ φοινίκινον σκῆπτρον ἀνέβη ἐπὶ τὴν κλίνην κ. ἀνέστρεψε τὴν Ὀλ. πρὸς ἑαυτὸν κ. συνεγένετο αὐτῇ κτλ. (= v. 17) 17 μετ. ἀπὸ τοῦ δράκοντος θαυμάζουσα L 18 αὐτῆς τῇ χειρὶ τὴν κοιλίαν L

ἀνυπότακτα διαμείνατε.' Καὶ ταῦτα εἰπὼν ἐξέρχεται πρὸς τὴν ἰδίαν
ὑπομονήν. γίνεται οὖν τὸ τοιοῦτον σύνηθες λοιπόν, ἡδέως αὐτῆς ἐχούσης 2
ὡς ὑπὸ δράκοντος, Ἄμμωνος, Ἡρακλέους, Διονύσου πανθέου περιλαμβανο-
μένης.
Ὡς δὲ ἡ γαστὴρ ὠγκοῦτο, καλέσασα τὸν Νεκτανεβὼ εἶπε· 'Προφῆτα 3
τί μέλλω ποιεῖν, ἐὰν παραγενάμενος ὁ Φίλιππος ἔγκυόν με εὕρῃ;' Ὁ δὲ
εἶπεν· 'Μηδὲν πτοηθῇς βασίλισσα· ἐν τούτῳ βοηθὸς ἔσται ὁ τρίμορφος
θεὸς Ἄμμων, ὄνειρον αὐτῷ δείξας, ὥστε ἀνέγκλητόν σε ὑπ' αὐτοῦ μεῖναι.'
Οὕτω μὲν ἡ Ὀλυμπιὰς ἐπλανᾶτο, ἀνθρωπίνῳ μοιχῷ ὡς θεῷ συνερχομένη, 4
πλὴν Αἰγυπτίῳ βασιλεῖ.
Καὶ δὴ λαβὼν ἱέρακα πελάγιον καὶ τοῦτον μαγεύσας ὀνειροπομπίαν 8
ποιεῖ τῷ Φιλίππῳ. εἶδε γὰρ θεὸν εὔμορφον πολιὸν κεραὸν τρόπον Ἄμ-

1 post *διαμείνατε* add. Arm. Val. (cf. B′): *κατὰ γαστρὸς γὰρ ἔχεις ἄρρενα παῖδα ἔκδικόν σου γινόμενον κ. πάσης τῆς οἰκουμένης κοσμοκράτορα βασιλέα* 2 *τῶι τοιούτωι συνῆλθεν λ.* A (et *συνῆλθεν* verum esse potest) add. B′ Arm. eum sceptrum sustulisse (hoc Val. quoque) et instrumenta fraudis abscondidisse. 4 Pergunt sic Arm. Val. (cf. B′): *πρωΐας δὲ γενομένης ἠγέρθη ἡ Ὀλ. κ. ἦλθεν εἰς τὸν κοιτῶνα τοῦ Νεκτ.* (*κ. διυπνίζει αὐτόν* add. B′) *κ. διυπνισθεὶς εἶπε· κυρία, τί; γέγονεν, ὃ εἶδες; Ὀλ. λέγει· γέγονεν ὃ εἶπες. ὁ δὲ λέγει· κεχάρηκα σύν σοι, κυρία. καὶ Ὀλ. λέγει· ἆρα οὐκέτι παραγίνεται;* (*ergone ultra adesse dignabitur?* Val.) *προσέχω γὰρ ὡς γυνὴ τῇ ἀφίξει κ. συνουσίᾳ αὐτοῦ, ὅτι ἡδεῖ πόθῳ παρείληφα αὐτόν, ὦ προφῆτα* (*id enim mihi sensus quod coniux coniugi dedit* Val.). *ἀλλ' ὅτι σε ἔλαθε τοῦτο, θαυμάζω. ὁ δὲ ἐχάρη, ὅτι ἐφιλήθη ὑπὸ τῆς βασιλίσσης, κ. εἶπεν· ἄκουσον, Ὀλ.· ἐγὼ προφήτης εἰμὶ τοῦ θεοῦ τούτου. ἐὰν βούλῃ, δός μοι τὸν τόπον τοῦτον εἰς τὸ κοιμᾶσθαι ἐκεῖ ἀπαρενόχλητον. τὸν γὰρ συνήθη αὐτῷ καθαρμὸν ποιήσω, κ. ἐλεύσεται πρός σε* (*ὅταν βούλῃ* add. B′). *καὶ Ὀλ. λέγει· ἡ θέλησίς σου γενήσεται ἀπάρτι. κ. λέγει τοῖς θυρωροῖς αὐτῆς· δότε τούτῳ τὴν κλεῖδα τοῦ κοιτῶνος. ὁ δὲ λαβὼν ἀπέκρυψεν* (*ἃ εἶχεν* add. B′) *κ. ἀληθῶς εἰσήρχετο, ὁσάκις ἐβούλετο ἡ Ὀλ. εἰσέρχεσθαι αὐτὸν πρὸς αὐτήν, κ. προαπήγγειλε διὰ τοῦ προφήτου. κ. ἐκεῖνος κατὰ τὸ εἰωθὸς συνῆλθεν Ὀλυμπιάδι ὑπονοούμενος Ἄμμων εἶναι* (= v. 4). *ἐχούσης* om. L 5 *βλέψασα* AL Syr. *vocavit* Leo *τῶι νεκτ.* A *τὸν νεκτ. δειλῶς* L 6 *παραγενόμ.* L 7 *βασιλίς* L 8 *δεῖξαι* L *δείξω* A (*ἐπιστὰς Φιλίππῳ δι' ὀνείρου* B′) 9 *ἡ* A: *οὖν* L *μοιχῷ ὡς θεῷ* Ausf.: *θεοῦ μοιχῶι* A *θεῷ* L (qui *μοιχευομένη*) *adulterando se ab homine quasi a deo* Leo ⟨*ἀντὶ*⟩ *θεοῦ* Rad. 10 *πλ. Αἰ βασ.* soli habent AL et otiosa sunt. Syr. haec ad seqq. trahit: *dann nahm N., der König von Aeg. . . .* 11 *ὀνειρόπομπον* L *-πόμπιον* A (haec quoque tolerabilia). Decurtavit A quae sunt in B′ (Arm. Val.): *κ. ὅσα ἠβούλετο εἰπεῖν ἐν ὀνείροις τῷ Φιλ., ὁ ἱέραξ ἔλεγεν αὐτῷ, μαγικαῖς κακοτεχνίαις παρασκευάσας αὐτὸν ἵπτασθαι* (*μαγ. — ἵπτ.* etiam Syr.). *ὁ δὲ θαλάσσιος ἱέραξ σταλεὶς ὑπὸ τοῦ Ν. ἦλθε διὰ τῆς νυκτός* (*δύο ἡμέρας κ. δύο νύκτας* Arm.), *ἔνθα ἦν Φιλ., κ. ἐπέστη αὐτῷ* [*ἱέραξ*] *λαλῶν ἐν ὀνείρῳ. θεωρήσας δὲ Φιλ. τὸν ἱέρακα λαλοῦντα αὐτῷ κ. διυπνισθεὶς μετεκαλέσατο τοὺς ἐπισημοτέρους τῶν ὀνειρολυτῶν* (*ὀνειροπόλον Βαβυλώνιον* Arm.) *κ. διηγήσατο αὐτοῖς τὸν ὄνειρον λέγων αὐτοῖς· εἶδον κατ' ὄναρ* (= p. 9, 8) 12 *πολιὸν τὴν χαίτην κ. τὸ γένειον, ἔχοντα κέρατα* (*κριοῦ* add. B′ Val.) *πρὸς τοῖς κροτάφοις . . νυκτὸς ὑπεισερχόμενον τῇ γυναικί μου Ὀλ.* B′ Arm. (Val.) *κεράοντα* A (possis *κερόεντα*)

μωνος συγκοιμώμενον τῇ Ὀλυμπιάδι ⟨καὶ⟩ ἀνιστάμενον τῆς κοίτης λέγειν
αὐτῇ· Κατὰ γαστρὸς ἔχεις ἐξ ἐμοῦ παῖδα, καὶ σοῦ καὶ τοῦ πατρὸς Φι-
λίππου γενόμενον ἔκδικον. Ὑπενόησε δὲ καὶ τὴν φύσιν αὐτῆς Νειλῴᾳ 2
βίβλῳ καταρράπτειν αὐτὸν καὶ σφραγίζειν δακτυλίῳ χρυσῷ ἐν λίθῳ γλυφὴν
ἔχοντι κεφαλὴν λέοντος, ἡλίου κράτος καὶ δοράτιον· ἔδοξε δὲ καὶ ἱέρακα
ταῖς πτέρυξι διυπνίζειν αὐτόν.

Ταῦτα ἰδὼν ἀνίσταται καὶ μεταπεμψάμενος ὀνειροπόλον διηγεῖται 3
τὸν χρησμόν. ὁ δέ φησι· Βασιλεῦ καθὼς ἐθεάσω γέγονεν ἔγκυος Ὀλυμ-
πιάς, πλὴν ὑπὸ θεοῦ. τὸ γὰρ σφραγίζειν τινὰ τὴν φύσιν αὐτῆς πίστεως
γέμει· οὐδεὶς γὰρ κενὸν ἀγγεῖον σφραγίζει, ἀλλὰ μεστόν. ἐπειδὴ δὲ βίβλῳ 4
καταρραφεῖσα ἦν ἡ φύσις, Αἰγυπτία ἐστὶν ἡ σπορά· οὐδαμοῦ γὰρ βίβλος
γεννᾶται εἰ μὴ ἐν Αἰγύπτῳ· πλὴν οὐ ταπεινή, ἀλλὰ λαμπρὰ ἡ τύχη καὶ
ἔνδοξος καὶ ἐπίσημος διὰ τὸν χρυσοῦν δακτύλιον. τί γὰρ χρυσοῦ ἐνδοξό- 5
τερον, δι' οὗ καὶ θεοὶ προσκυνοῦνται; ὁ δὲ ἥλιος ὁ τῆς γλυφῆς, κεφαλὴ
λέοντος καὶ δοράτιον λόγον ἔχει τοιοῦτον· ὁ γὰρ γεννώμενος μέχρι τῆς
ἀνατολῆς φθάσει ὥσπερ λέων, δορυαλώτους τὰς πόλεις ποιούμενος. τὸ δὲ
τὸν θεὸν κριοκέρατον πολιὸν εἶναι, ὁ τῆς Λιβύης Ἄμμων θεός ἐστιν ὁ
τούτου σπορεύς. Οὕτω κρίναντος τοῦ ὀνειροπόλου συμπαθὴς ἐγένετο Φί- 6
λιππος διὰ τὸ ὅλως συνειληφέναι τὴν Ὀλυμπιάδα, κἂν ἐκ θεοῦ.

Νικήσας οὖν τὸν πόλεμον εἰς τὴν Μακεδονίαν ἐποιήσατο τὴν ἐπά- 9
νοδον. ὡς δὲ ἦλθεν εἰς τὰ βασίλεια, ἐνυπόπτως ἡ Ὀλυμπιὰς ἠσπάσατο

---

1 ἀνιστάμενος δὲ ἀπ' αὐτῆς λέγει αὐτῆς L (Syr.) 2 post παῖδα add. ὃς ἔγκαρπον ποιήσει σε Arm. ὃς ἐγκαρπώσεται B′ 3 καὶ post δὲ om. L ἴλωα A ἐνίλωα L (βίβλον Νειλώαν fere B′) βίβλον A 4 σφρ. τῷ ἐμῷ σφραγιστῆρι B′ Arm. δακτύλωι A 5 *claritatem solis* Leo ἐκτύπωμα ἡλίου B′ Arm. Val. λέοντος ἥλιον κρατοῦντος (sic Syr.) in A′ fuisse putat Ausf. καὶ post (non ante) ἱέρακα A om. L ἱέρ. ἐπιστάντα B′ Arm. Val. 7 πρωίας (= Syr.) ἀνιστάμενος μετεπέμψατο ὀν. καὶ L 8 χρησμόν: ὄνειρον B′ βασ.-θεοῦ A: ἀληθής ἐστιν ὁ ὄνειρός σου B′ Arm. (Val.) ἔγκ. γέγ. L 9 ἡ γὰρ σφραγὶς πίστις ἐστίν, δηλοῦσα ὅτι συνέλαβεν ἡ γυνή Arm. Val. (B′) 10 ἐπειδὴ δὲ A: ἐπὶ L 11 ἐστὶν L: ἦν A 12 ἀλλὰ γὰρ A μᾶλλον δὲ L λαμπρὰν τύχην καὶ ἔνδοξον καὶ πιστὴν ὁ διὰ A (ἡ τύχη om. B′ Val. habet Syr.) 13 ἐπίσημος L: πιστὴν ὁ A ἔντιμος Arm. χρυσὸν A τί—ἐνδοξότερον om. L 14 ἥλιος L: λίθος A κεφαλὴν λ. κρατῶν καὶ δυράτιον A κεφαλῆς λέοντος· ὁ γὰρ L. Pristina orationis forma in B′ (Arm.): ἡ δὲ σφραγὶς ἡ τὸν ἥλιον ἔχουσα … δοράτιον· οὗτος ὁ γεννώμενος 15 γενόμενος A 16 φθάνει A ὥσπερ λέων A: πάντας πολεμίων L τὸ δὲ ἑωρακέναι σε θεὸν B′ Arm. 17 κριοκέφαλον L *capite arietino* Val. ἐστὶ ante Ἄμμων A, om. L 18 συμπ. ἤκουσεν Φίλ. τὸ ὅλως L οὐχ ἡδέως ἤκουσεν Arm. B′ Val. 19 κἂν ἐκ: κἂν εἴη ἐκ L κἂν εἴη A καίπερ ἐκ θεῶν εἰδώς Arm. 20 post ἐπάν. add. Arm. (Val.) ἐφοβήθη δὲ ἡ Ὀλ. κ. παρεμυθεῖτο αὐτὴν ὁ Ν. 21 ὡς—βασίλεια om. L ἐνυπ. AL: οὐ θαρροῦσα ἐπὶ τῷ γενομένῳ B′ Arm.

αὐτόν. ἣ καὶ ἀποβλέψας ὁ Φίλιππος εἶπε· ‛Τίνι παρεδόθης Ὀλυμπιάς; 2
. . . ὅτι ἁμαρτήσασα οὐχ ἥμαρτες· θεὸς γάρ σε εἰς τοῦτο ἐβιάσατο, ἵνα
ἐκ θεοῦ γεννήσασα παῖδα Φιλίππου πατρὸς ἀναγορεύσῃς αὐτόν· πάντα
γὰρ τὰ περὶ σοῦ δι᾽ ὀνείρων ἐθεασάμην. διὸ ἀνέγκλητος εἶ· πάντα γὰρ 3
δυνάμενοι οἱ βασιλεῖς πρὸς τοὺς θεοὺς οὐδὲν δυνάμεθα.᾽ Οὕτως ἐπειπὼν
εὔθυμον τὴν Ὀλυμπιάδα ἀπεκατέστησεν.

Ἐν τοσούτῳ δὲ ἐν τοῖς βασιλείοις κρύφα διάγων ὁ Νεκτανεβὼς 10
ἤκουσε Φιλίππου λέγοντος τῇ Ὀλυμπιάδι· ‛Ἐπλάνησάς με γύναι· οὐ γὰρ
ἐκ θεοῦ σύλληψιν ἔχεις, ἀλλ᾽ ὑπὸ ἀνθρωπίνης φύσεως.᾽ Ποτὲ δὲ εὐωχου- 2
μένων αὐτῶν ἀλλάξας ἑαυτὸν διὰ τῆς μαγείας εἰς δράκοντα πολὺ μείζονα
τοῦ πρώτου ἦλθε διὰ μέσου τοῦ τρικλίνου καὶ ἐσύριζεν ἐξακουστὸν καὶ
φοβερὸν σύρισμα, ὥστε φόβον τινὰ καὶ ταραχὴν τοῖς κατακειμένοις ἐμβάλ-
λεσθαι. ἡ δὲ τὸν ἴδιον ἐραστὴν ἰδοῦσα Ὀλυμπιὰς ἀνακαθίσασα τῆς κλίνης 3
προέτεινε τὴν δεξιάν· ὁ δὲ ἐξεγείρας ἑαυτὸν ἐπέθηκεν ἑαυτοῦ τὸ γένειον
εἰς τὴν χεῖρα, τὸ δὲ ὅλον σῶμα πρὸς τὸν κόλπον . . . προβαλὼν τὴν
δίχηλον γλῶτταν κατεφίλησεν αὐτήν, τεκμήριον στοργῆς καὶ φιλίας πρὸς
τοὺς θεωμένους καὶ αὐτὸν τὸν Φίλιππον ἐπιδεικνύμενος· καὶ ταῦτα πράξας

1 ὁ δὲ ἀποβλ. αὐτὴν τεταραγμένην ὁ Φ. L (cf. Arm. B′) Syr. *cui tu te tradidisti, Ol.? peccavisti in quem? non peccavisti* Leo *wem hast du dich überliefert, geschändet zu werden?* Syr. Aliter Arm. (B′ Val.): γύναι, τούτων οὐκ εἶ σὺ αἰτία· ἄλλων γὰρ ἐγένετο τὸ ἁμάρτημα. κ. ἐμοὶ ἐν ὁράματι ἠγγέλθη τὸ γεγονός, ἵνα σὺ ἀναίτιος κ. ἀνενόχλητος ἦς 2 ἁμαρτήσας A ἵνα L: ἣν A 3 γεννήσεις L 4 διὸ — 5 δυνάμεθα L (cf. B′ Arm. Val. Syr.): om. A 5 post δυνάμεθα add. Arm. (cf. B′ Val.): οὐ γὰρ τοῦ δήμου τινὶ ἐκολλήθης οὐδὲ εὐπρεπής τις τῇ μορφῇ ἠράσθη σου (?), ἀλλὰ θεοὶ οἳ πάντα δύνανται οἱ om. L εἰπόντος L 6 add. Arm: ἡ δὲ ηὐχαριστήκει τῷ προμηνύσαντι προφήτῃ (haec etiam B′ Val.)· κ. ἦν μετὰ ταῦτα σὺν Ὀλ. ὁ Φίλ. (*agebat Phil. cum muliere coniugaliter* Val., cf. B′) 7 ἐν δὲ μιᾷ τῶν ἡμερῶν ἐν τ. β. L βασιλεῖος A 8 τῇ om. A ἐπλάνησες A 9 οὐχ ὑπὸ θ. σύλλημμα ἔ. L ὃς ἐὰν ἐμπέσῃ εἰς τὰς χεῖράς μου, ἀνηλεεῖ κολάσει ἀρῶ αὐτὸν ἐκ τοῦ βίου Arm. (B′) ποτὲ scripsi: ὡς A εὐωχουμένου δὲ αὐτοῦ κατηφὴς ἦν διὰ τὸ ἔγκυον εἶναι τὴν Ὀλ. L (B′) 10 post αὐτῶν add. διὰ τὴν τοῦ βασιλέως ἐπιδημίαν, μόνου δὲ τοῦ βασ. Φιλ. κατηφοῦς ὄντος Arm. B′ Val. ὁ δὲ Νεκτ. ἀλλ. L πολὺ et τοῦ πρώτου om. L 11 καὶ prius ante διὰ A ἐσύρει φοβ. ὥστε τὰ θεμέλια σεισθῆναι τοῦ παλατίου. οἱ δὲ συνεσθίοντες τῷ βασιλεῖ θεωρήσαντες τὸν δράκοντα ἐπήδησαν φόβῳ συνεχόμενοι, ἡ δὲ Ὀλ. ἐπιγνοῦσα τὸν ἴδιον νυμφίον προέτ. L (B′ Arm. Val.), cum A faciunt Leo Syr. 14 προσέτεινεν A γένειον κ. ἐκύκλωσε πάντας κ. ἦλθεν ἐπὶ τὰ γόνατα Ὀλυμπιάδος κ. προβαλὼν L (B′ Arm.) 15 χεῖραν A προσβαλὼν A *appropinquans ad Olimpiadem caput posuit in gremium eius et osculabatur eam* Leo (cf. Val.) 16 κατεφίλησεν αὐτὴν om. A τεκμήριον L: τὲ καὶ ἤριον A στοργῆς ὁ δράκων πρὸς τ. θεωροῦντας ποιούμενος L (cf. B′ Arm.) 17—11, 5 L formam A′ cum B′ miscet: κ. τοῦ μὲν Φιλ. ἅμα μεμφομένου ἅμα δὲ κ. θαυμάζοντος κ. ἀκορέστως προσέχοντος· κ. ταῦτα πράξας Νεκτ. πρὸς ἔνδειξιν ἀφανὴς ἐγένετο· μεταβάλει ἑαυτὸν ὁ δράκων εἰς ἀετόν· κ. τὸ ποῦ ἐχώρησε περιττὸν κ. λέγειν. ὁ δὲ Φίλ. ἐκ τοῦ φόβου νοήσας (ἀναν. B′ ἀνανήψας Drexl.) εἶπεν· γύναι, τεκμήριον τοῦ

πρὸς ἔνδειξιν ἀφανὴς ἐγένετο. τοῦτο ὁ Φίλιππος θεασάμενός φησι· 4
‛Τοῦτον τὸν δράκοντα εἶδον, ὅτε τὸν πόλεμον πρὸς τοὺς ἀντιδίκους
συνέκρουον, συρμῷ τὸ πλῆθος αὐτῶν ἀναποδίζειν ποιοῦντα.᾽ Ἐμακάριζε
μὲν οὖν ἐπὶ τούτῳ λοιπὸν ἑαυτὸν ὁ Φίλιππος, θεοῦ σπορᾶς μέλλων κα-
λεῖσθαι πατήρ.

Μετ᾽ ὀλίγας δὲ παντελῶς ἡμέρας ἔν τινι συμφύτῳ τόπῳ τῶν βασι- 11
λείων καθεζομένου τοῦ Φιλίππου, παντοίων ὄρνεων παρ᾽ αὐτοῦ τρεφο-
μένων καὶ ἐν τῷ χωρίῳ νεμομένων, πρὸς τὴν ἡσυχίαν ἐν φιλολόγοις
βιβλίοις γενομένου αὐτοῦ ὄρνις ἥμερος νεοττὸς εἰς τοὺς κόλπους αὐτοῦ
ἁλλομένη ἔτεκεν ᾠόν, ὃ κατακυλισθὲν ἐπὶ τῆς γῆς ἐρράγη. ἀφ᾽ οὗ ἐξε- 2
πήδησε μικρὸν δρακόντιον· κυκλεῦσαν δὲ τὸ ᾠόν, ὅθεν ἐξῆλθε, καὶ εἰσελ-
θεῖν βουλόμενον, πρὶν βαλεῖν ἔσω τὴν κεφαλὴν ἐτελεύτησεν. τούτου γενα- 3
μένου ταραχθεὶς οὐ μετρίως ὁ Φίλιππος μετεπέμψατο τὸν κατὰ ἐκεῖνον
τὸν καιρὸν ἐπίσημον σημειολύτην Ἀντιφῶντα καὶ ὑφηγεῖται αὐτῷ τὸ γενό-
μενον. ὁ δὲ πρὸς τοῦτο εἶπεν· ‛Υἱός σοι ἔσται, ὃς βασιλεύσει καὶ πε- 4
ριελεύσεται τὸν ὅλον κόσμον, τῇ ἰδίᾳ δυνάμει πάντας ὑποτάσσων· οὗτος
δὲ εἰς τὰ ἴδια συστρέφων ὀλιγοχρόνιος τελευτήσει. ὁ γὰρ δράκων βασι-
λικόν ἐστι ζῷον, τὸ δὲ ᾠὸν παραπλήσιον κόσμῳ, ὅθεν ὁ δράκων ἐξήει.
κυκλεύσας δὲ τὸ ᾠὸν καὶ συστρέψαι βουλόμενος, πρὶν βάλῃ τὴν κεφαλὴν
εἰς τὴν γεγεννηκυῖαν αὐτὸν πατρίδα, ἔξωθεν τετελεύτηκεν.᾽ οὗτος μὲν οὖν
ἐπιλύσας τὸ σημεῖον δωνατισθεὶς ἐξήει.

περί σε ἀγῶνος ἐθεασάμην τὸν θεόν σοι βοηθοῦντα ἐν τῷ κινδύνῳ· τίς δὲ ὁ θεός, νῦν οὐκ οἶδα. ἔδειξε γὰρ ἐμοὶ θεοῦ Ἄμμωνος μορφὴν κ. Ἀπόλλωνος κ. Ἀσκληπιοῦ. ἡ δὲ Ὀλ. ἰδὼν ταῦτα ἐμακάριζεν ἑαυτὸν (= p. 11, 4), cf. Arm. Val.

2 εἶδον ὅτε scripsi: ἴδιον εἶναι A *vidi tunc quando preliatus sum contra inimicos meos* Leo (Syr.). In B′ Val. Arm. draco Olimpiadi auxiliatur (cf. ad 10, 17) προὺς A 3 καὶ συρμῶι A, fuitne συριγμῷ? τῶι πλήθεισαὐτὸν A 4 ἑαυτὸν L, om. A 5 πατήρ Arm. Syr.: σπέρμα A θεοῦ σπορὰν μέλλοντα καλεῖσθαι (καλεῖν B′) τὸ τικτόμενον ὑπὸ τῆς ἰδίας γυναικός LB′ 6 cf. Suet. Aug. 94 μετὰ δὲ ἡμ. τινὰς L ολίγου A τινι τῶν βασιλικῶν τόπων συμφύτω L τινι συγχύτωι τῶι βασι λεῖ A 7 sqq. Hinc L cum B′ consentit nec iam notatur 8 νεμομένου A *da las Phil. in einem philosophischen Buche* Syr. 9 γινομένου suprascr. ε A ὄρνις ἥμερος: οὖν ἰσήμερος A νεοττὸς Müll.: νόθος A Syr. 10 ὃ καὶ κατακυλισθὲν A 11 κυκλεῦον A, corr. ex B′ κατεισελθεῖν A (non καὶ) 12 βάλλει A καὶ βαλὸν (πάλιν add. Arm.) ἔσω τ. κεφ. B′ Arm. Syr. *priusquam cupitum ageret* Val. Leo 14 γεννώμενον A post γεν. add. Arm. (Val.) τὴν ὄρνιν, τὸ ᾠόν, τὸν δράκοντα, τὸ κυκλοῦν, τὴν τελευτήν 15 ὁ καὶ πρ. τ. Ἀντιφῶν εἶπεν A quae etiam aliter conformare possis ad εἶπεν add. *ad incrementum peritiae suae dei adminiculo inspiratus* Val. B′ (Arm.) βασιλ. καὶ habent soli A Syr. Leo 16 ad ὑποτ. add. αὐτὸς δὲ οὐδενὶ ὑποταχθήσεται Arm. Syr. 17 ὑποστρέφων B′ 18 κόσμου A 19 τὸ ᾠὸν A (Val.): τὸν κόσμον B′ Arm. βάλλῃ A 20 τετελευτηκέναι A οὐκ ἔφθασεν ἀλλ᾽ ἐτελεύτησεν B′ Arm., unde πατρ. ἔφθασε τετελευτηκὼς Müll. 21 δονατισθεὶς A δωματισθεὶς L δῶρα λαβὼν B′ Arm. Syr. δοκιμασθεὶς Val.

Τοῦ δὲ [τοκετοῦ] χρόνου τῆς κυήσεως πληρωθέντος καθίσασα ἡ 12
Ὀλυμπιὰς εἰς τὸν σωτήριον κυηφόρον δίφρον ὠδίνων ἤρξατο. παραστὰς
δὲ αὐτῇ ὁ Νεκτανεβῶς καταμετρήσας τοὺς οὐρανίους τῶν ἀστέρων δρόμους
πρὸς τὴν τοῦ ζωδιακοῦ κύκλου κίνησιν εἶπεν· „Ἀνάστηθι μικρὸν ἐκ τοῦ 2
δίφρου [τὴν ὥραν] περίπατον λαμβάνουσα· ὡροσκοπεῖ γὰρ σκορπίος, καὶ
ὁ παμφαὴς Ἥλιος τετράζυγον πλῆθος ἰδὼν αἰθερίων ζῴων κατόπιν ἰόντων
τὸν γεννώμενον ταύτῃ τῇ ὥρᾳ πάντως ἀπ' οὐρανοῦ καταστρέφει. Περικρατὴς 3
σεαυτῆς ⟨ἔσο⟩ ἡ σεβασμία καὶ ⟨κατὰ⟩ τοῦτον τὸν ἀστέρα· ὡροσκοπεῖ
γὰρ Καρκίνος, καὶ Κρόνος ἀπὸ τῶν ἰδίων τέκνων ἐπιβουλευθεὶς διδύμων
σπορὰν ἄχρις στάχυος ἐκτεμὼν ἐπὶ ποντομέδοντα Ποσειδῶνα καὶ νερτέριον
Πλούτωνα † μιμνησκόμενος οὐράνιον Διὸς † ἀμφοῖ τὸν θρόνον. ταύτῃ τῇ
ὥρᾳ γεννήσεις † ἃ μέλι αὖον· † Ἴκω τὸ βραχὺ καὶ ταύτης τῆς ὥρας· ἡ 4
γὰρ κερασφόρος Μήνη ταύρων ζυγῷ προλιποῦσα τὸν ὕψιστον ἐπὶ γῆς
κατέβη, βουκόλον Ἐνδυμίωνα καλὸν περιπτύξουσα παῖδα. διὸ καὶ † τὰ
χρήσιμα πυρὶ φλεγεὶς τελευτᾷ. Οὐδ' οὕτως ἐστὶν ὁ † καὶ θερίης ἱλαρὸς 5
τόκος· ἡ γὰρ φιλοθάλαμος Ἀφροδίτη, Ἔρωτος τοξότου μήτηρ, ἀπολέσει
συοπλῆγα Ἄδωνιν. ταύτῃ τῇ ὥρᾳ ὁ γεννώμενος Βυβλιάδων γυναικῶν σέλας
λαβὼν διεγείρει κοπετὸν περὶ αὐτοῦ * * * καὶ † τὸν τοῦ λέοντος Ἄρεως 6
θυμόν· οὗτος γὰρ φίλιππος καὶ πολέμιος, νῦν δὲ ἄοπλος γυμνὸς

1 caput valde contractum in B′ Arm. Val., in quibus oratio Nectanebi bis narratione interrumpitur. Cf. Boll Mem. Acad. Bologna 1923 (Herm. LIX 474). W. Weber Der Prophet u. sein Gott 98. 111 ἡ Müll.: δὲ A 2 κυηφόρον cf. Marc. Diac. 39, 5 ed. Bonn. c. adn. 4 τῶν ζωδιακῶν κύκλων A 5 del. illata ex v. 7 (⟨ταύτην⟩ τὴν ὥ. Boll), nisi plura desunt (*bis eine Stunde vergangen sein wird* Syr.) ὡροσκοπεῖ: ὁ A (mendum e nota ortum ut v. 8) σκορπίος Syr.: ὁ καρπὸς A 6 τετράζυγος Boll 'Soli ipsi solitum currus epitheton datur' ἰόντα A (ἰὼν Boll; possis etiam ἰόν). hucne pertinet Arm. ὑπόδουλον ἢ αἰχμάλωτον ἄλλων τέξῃ? (cf. Val.) 8 add. Müll.; nolui περικράτει add. Boll ἡ sive ὡς A (an ὦ?) ὡροσκοπεῖ: ὁ A (cf. v. 5) 10 ἄχρις: ἀργαίης ut vid. A (στάχυς τὸ ὑπὸ τῇ γαστρί Poll. II 168) ἐκτεμόντων Müll. ἐπὶ: ἔπειτα Boll si licet hariolari, del. ἐπὶ scribas δειδισσόμενος et ἀμφιθεῖ νερτέριος A 12 sic fere A (ον inc.), possis ἀμενηνόν. Huc traho Val. *gallus et semivir erit qui nascetur* (cf. B′). ἀμέλει αὖον Boll ἴσχου Müll., possis ἴτω 13 μηνι A ταύρωι A, corr. Müll. (cuius alteram coni. ταυρόζυγος praefert Boll); *verließ Mene die Wage* Syr. ὕψιστος A (*von ihrer Höhe* Syr.) 14 βουκόλος ἐνδυμείανα A περιπτύξασα, corr. Boll 15 φλέγει A (puto in τὰ χρήσιμα aut accus. graecum membri combusti aut epitheton ignis latere): *darum stirbt der, welcher in dieser Stunde geboren wird, durch Feuer* Syr. οὐδ' οὗτος ἐστὶν ὁ αἰθέριος ⟨τόπος⟩ ἱλαρὸς τόκῳ Boll; nolui Κυθηρείας ponere 16 ἀφροδίτης ἤροτος τοξότη A 17 συοπλῆγα Müll.: σοι ὀπληγὸν A an σέβας? at etiam λαβὼν suspectum 18 παρ' αὐτοῦ A, corr. Müll. τοῦ potius A quam νῦν; ⟨δείκνυσι⟩ τὸν τοῦ λ. ⟨κατὰ⟩ Boll *Laß diese Stunde vorübergehen, weil der Gott Mars zornig und drohend in ihr dasteht* Syr. 19 οὕτως A πολεμίων A, corr. Müll.

ὑφ' Ἡλίου ἐπὶ λέκτρων μοιχιδίων ἐδειγματίσθη· ὅθεν καταφρονηθήσεται ὁ
γεννώμενος ταύτῃ τῇ ὥρᾳ. Ἐπίμεινον ἔτι τοῦτον τὸν Ἑρμοῦ ἀστέρα, 7
βασίλεια, τὸν αἰγοκέρωτα παρὰ τὸν Δυσώνυμον· οὕτως γεννήσεις πολυ-
γράμματον ἐριστὴν ἑτεροφρονοῦντα * * * τὸν ἴδιον παῖδα· ταύτῃ τῇ ὥρᾳ
τέρας γεννᾷς. Κάθισον εὐκόπως νυνὶ δή, βασίλεια, πρὸς τὸν τῆς εὐεργεσίας 8
σωτῆρα δίφρον καὶ δίδου περισσοτέρας καὶ εὐτονωτέρας τὰς γεννητρίους
ὠδῖνας. ὁ γὰρ φιλοπάρθενος Ζεὺς μηροτραφῆ τὸν εὔιον Διόνυσον
ἀναδείξας, εὔδιος μεσουρανήσας, κριὸς Ἄμμων γενόμενος ἐπὶ τοῦ Ὑδροχόου
⟨καὶ⟩ Ἰχθύων, Αἰγύπτιον ἄνθρωπον κοσμοκράτορα βασιλέα ἀποκαθιστᾷ.
ταύτῃ τῇ ὥρᾳ γέννησον.' Ἅμα δὲ τῷ τοῦτο εἰπεῖν πεσόντος ἐπὶ γῆς τοῦ 9
βρέφους ἀστραπὴ γέγονεν, βροντὴ ἐξήχησε, σεισμὸς ἐγένετο, ὥστε τὸν πάντα
κόσμον συγκινηθῆναι.

Πρὸς ταῦτα Φίλιππος εἶπεν· 'Ἐβουλόμην μὲν αὐτὸν μὴ θρέψαι 13
γύναι διὰ τὸ μὴ μοῦ γέννημα εἶναι· ἐπεὶ δὲ ἀφορῶ τὴν μὲν σπορὰν ἔχειν
αὐτὸν θεοῦ, τὸν δὲ τοκετὸν κοσμικῶν στοιχείων σημείωσίν τινα, τραφήτω
καὶ εἰς μνήμην παιδὸς τελευτήσαντος ἐκ τῆς προτέρας μου γυναικὸς
καλείσθω Ἀλέξανδρος.' Οὕτως εἰπόντος αὐτοῦ τὸ παιδίον ἔλαβε τὴν 2
δέουσαν ἐπιμέλειαν· στεφανηφορία δὲ καθ' ὅλην τὴν Πέλλην καὶ Θρᾴκην
καὶ τὴν Μακεδονίαν ἐγένετο. † καὶ δὴ υἱὸς παῖς ἀναβιβάζεται [τῇ ἐπιμε- 3
λείᾳ καὶ] τῇ ἡλικίᾳ, οὐχ ὅμοιον ἔχει τὸν χαρακτῆρα Φιλίππου οὐδὲ
Ὀλυμπιάδος. τύπον γὰρ ἐσχήκει μορφῆς † γενόμενον λεοντοκόμου ἑτερό-

1 ἐφηλίου A, corr. Boll   λέκτρον μοιχιλίας αἰνιγματίσθω A, corr. Müll. Boll   2 ἐπιμένων A, corr. Boll   ἔτι Müll.: ἐπὶ A   τοῦτον in τούτων corr. A   3 βασιλεῖ A   παρὰ potius A quam περὶ   4 ἐραστὴν ὑστεροφρόνουτ'. tum reliqua linea vacua A: corr. Müll. Boll   5 γενναῖ A   βασιλεῖ A   6 σωτῆρα A   δίδου νῦν τὴν πρὸς τὸν τοκετὸν φωνὴν (vel sim.) B' Arm. Val.   γεννητρίας Müll. fort. recte.   7 μηροτράφιτον εὔδιος A (item Syr.)   8 ἅμα δείξας A, corr. Müll. deleverim εὔδιος ut dittographiam   τὸν εἰδύχροον ἰσχυὸν A, corr. e Syr. (Ausfeld 36)   10 add. B' (cf. Arm. Val.) ἡ δὲ Ὀλ. μεῖζον βοὸς μυκησαμένη ἀπεκύησε παῖδα ἄρρενα σὺν ἀγαθῇ τύχῃ   τούτωι A   11 βροντὴν ἐξηχῆσαι A   13 *quod cum vidisset Ph. dixit* Leo (Syr. B')   15 τοκ. ἐπίσημον κ. κοσμικόν B' κοσμικὸν στοιχείωι A   τρεφέσθω εἰς et infra 17 καλείσθω δὲ B' Arm. (Leo?) λαβὼν A   18 στρεφανηφόρος A   19 ὠόσ aut υἱόσ A   fuit fere ὡς δὴ ὁ παῖς. Excidit ἀπογαλακτισθείς, cf. B' Arm. (qui praemittunt κ. ἵνα μὴ ἐπὶ πολὺ βραδύνω τὸν λόγον περὶ τῆς ἀνατροφῆς Ἀλ.) Val. Syr.   τῇ ἐπιμ. καὶ solus A *nahm zu an seiner Statur und an seiner Weisheit* Syr.   20 τὴν χ. A   21 post Ὀλ. add. ἀλλ' οὐδὲ τῷ σπείραντι B' Arm. Syr. Val.   μορφῆι A   ἰδίῳ τύπῳ κεκοσμένος B' Arm. Val. Leo   λεοντοκόμον fort. sic usurpavit; χαίτην γὰρ λέοντος εἶχεν Arm. (B' Val. Syr. Leo)   ἑτερόφθ.: *oculi enim non similabantur ad alterutrum, sed unus est niger atque albus est alter* Leo τοὺς δὲ ὀφθαλμοὺς ἑτερογλαύκους, τὸν μὲν δεξιὸν κατηρεφῆ (?) ἔχων (*admodum nigra pupilla* Val. καταφερὴς κ. μέλας Arm.), τὸν δὲ εὐώνυμον γλαυκόν B' (Arm.)

φθαλμον· τὸ μὲν γὰρ εἶχε λευκόν, τὸ δὲ μέλαν· τοὺς δὲ ὀδόντας ὀξεῖς ὥσπερ πασσαλίσκους, τὸ δὲ ὅρμημα λέοντος ἀγρίου. πρόδηλον εἶχε τὴν φύσιν ὁποῖος ἀποβήσεται.
Ἐπεὶ δὲ τῆς παιδικῆς τάξεως ⟨ἐξέβη⟩, παιδαγωγὸς ἦν αὐτοῦ 4
† Λακρητητις μέλανος, τροφεὺς Λευκονίδης, διδάσκαλος δὲ γραμμάτων
Πελλαῖος Πολυνείκης, μουσικῆς δὲ Λήμνιος Ἄλκιππος, γεωμετρίας Πελο-
ποννήσιος Μένιππος, ῥητορικοῦ δὲ λόγου Ἀθηναῖος Ἀριστομένης, φιλοσο-
φίας δὲ Μιλήσιος Ἀριστοτέλης, ὁπλοκτυπίας δὲ † Λαμψάκης ὁ σευρωτάς.
Μετὰ τὴν τῶν χρόνων οὖν ἐπιγενομένην αὔξησιν εἰς τὰ μαθήματα 5
παιδευόμενος ὁ παῖς μελετᾷ βασιλεύειν, τάχα ὑπὸ θεοῦ τινος διδασκόμενος.
μετὰ γὰρ τὴν διδαχὴν πᾶσαν διέσχιζε κατὰ μέρος τοὺς συμμαθητὰς καὶ
συνῆπτεν αὐτοῖς μάχην, αὐτὸς μόνος ἑστώς, τοῖς ἡττημένοις κολλώμενος
καὶ συμμαχῶν, μέχρι νικήσωσι. καὶ δὴ κομίζουσί ποτε Φιλίππῳ δῶρον 6
οἱ τῆς Καππαδοκίας ἄρχοντες ἐκ τῶν ἱπποφορβίων πῶλον ὑπερμεγέθη
πολλοῖς περιπεφρουρημένον δεσμοῖς, ἀνθρωποφάγον αὐτὸν φήσαντες εἶναι.
ὃν ὑποβλέψας Φίλιππος καλὸν τυγχάνοντα εἶπεν· 'Ἀληθῶς ἐν τούτῳ 7
⟨πληροῦται⟩ ὁ παροιμιακὸς λόγος «ἐγγὺς ἀγαθοῦ παραπέφυκε κακόν».

---

2 nempe ⟨ὥστε⟩ πρόδ. hic add. *κατὰ χρόνους δὲ αὐξήσας εἰς τὰ μαθήματα ἐμελέτα* B′ Arm. (Val.?), cf. v. 9 4 possis sane *ἐπὶ δὲ τῆς*, sed haec turbata esse docet v. 9 *παιδαγωγῶσιν αὐτῶι* A; rectius B′ Arm. Val.: *τροφὸς* est Lanice, *παιδαγωγὸς καὶ ἀνατροφεὺς* Leonides fuit olim *Λανίκη ἡ τοῦ μέλανος Κλείτου ἀδελφή* (RE XII 688); *Λακρίνη Κελτίς* Arm. *Alacrinis* Val. *Lekranikos aus Pella* Syr. *Λε(υ)κάνη* B′ 5 *μέλανος* A *ἀδελφὴ Μελάνου* Arm. B′ (Byz.) recte *Λεωνίδης* B′ cett. *Λάκων* add. Arm. Byz. *Polinikos* Arm. *Polynicus* Val. 6 *Πελλαῖος* soli A Byz. (de Syr. ad v. 4) *Λεύκιππος* B′ Arm. *sein Lehrer in den Buchstaben war Apos aus Lemnos* Syr. *Alcippus Lemnius* etiam Val. *παιδοπονήσιος* A *Μέλεμνος* B′ *Μεναιχμος* Arm. *Menecles* Val. *Philipp* Syr. 7 *ἀθηναῖοι ἀριστομανὴς* A, scr. *Ἀναξιμένης Ἀριστοκλέους Λαμψακηνὸς* ex Arm. B′ Val. *Ἀριστοτ. Νικομάχου ὁ Σπαγειρίτης* L (Arm.) 8 *Μιλήσιος* etiam Val. Syr. Arm. *ὁπλοκ(τ)ύπιος* A; hic magister etiam in Syr. Byz. *Λαμψακηνὸς Εὐρώπης* Byz. add. Arm.: *ἐμνήσθη δὲ καὶ Παφώρανος τούτων ἐν τῷ τετάρτῳ τόμῳ ἐν ταῖς παντοδαπαῖς ἱστορίαις αὐτοῦ. si quid inquirere curiosius voles, sat tibi lector habeto graecum Favorini librum, qui Omnigenae historiae superscribitur* Val. 9 *Ἀλ. δὲ πᾶσαν παιδείαν μελετήσας* (*ἤσκησε καθὼς πρότερον εἴρηκα βασιλεύειν, ὥστε φανερὸν εἶναι παρὰ θεοῦ τινος μαθόντα* add. Arm.) *κ. ἀπολυόμενος ἐκ τῶν μαθημ. τοὺς συμμαθ.* (= v. 11) B′ Arm. 10 debebat *παιδευθεὶς* (cf. cett.) 12 *αὐτῶι* A pluribus haec narrant B′ Val. Arm. *κολλόμενος* A (Byz.) 13 *φίλιππον* A 14 *ἱπποφορβίας* B′ Val. Arm. (*Καππαδ.* etiam Leo Syr.); at cf. Sternbach Wien. Stud. 16, 14 (Solin. 174, 5) *ἱπποφορβῶν* A 15 *περιφρουρημένον* A (possis *πεφρ.*) in B′ Arm. equisones oratione directa utuntur, dicentes equum *κάλλει* (*καὶ τάχει* add. Arm.) *διαφέροντα τοῦ Πηγάσου* (*κ. τοῦ Ἀρεινος* Arm.); cf. Val. qui add.: *et si equi fuisse Laomedontis eiusmodi praedicantur* 16 *ὃν*: *ὡς* A *φίλιππον* A 17 *πληροῦται* B′: spatium partis lineae A *παρόμήριος* A *τὸ ἐν τοῖς Ἕλλησι παροίμιον* B′ Arm.

ἀλλ' ἐπειδὴ ἔφθητε ἐνηνοχέναι αὐτόν, λαβόντες ὑπὸ σιδήρεον κάγκελλον
ἀχάλινον βάλλοντες συγκλείσατε, ἵνα τοὺς ὑποπίπτοντας τῷ νόμῳ, ληφθέντας
ἐπὶ ληστείᾳ ἢ φόνῳ αὐτῷ παραβάλωμεν.' Εἰπόντος τοῦ βασιλέως λόγου
ταχύτερον ἐγένετο.
Ὁ δὲ Ἀλέξανδρος ηὔξανε τῇ ἡλικίᾳ, καὶ γενόμενος δωδεκαέτης μετὰ 14
τοῦ πατρὸς εἰς τὰς παρατάξεις ἐγίνετο ⟨καὶ⟩ καθώπλιζεν ἑαυτὸν καὶ
συνώρμα τοῖς στρατεύμασι καὶ τοῖς ἵπποις ἐφήλλετο, ὡς ὁρῶντα τὸν
Φίλιππον εἰπεῖν· 'Τέκνον, φιλῶ σου τὸν τρόπον, στυγῶ δὲ τὸν χαρακ-
τῆρα, ἐπεὶ ἀνόμοιος μὲν τυγχάνεις τὸν χαρακτῆρα, ὅμοιος δὲ τῇ φύσει.'
Ἀποδήμου δὲ ὄντος Φιλίππου μετακαλεῖται ἡ Ὀλυμπιὰς τὸν Νεκτα- 2
νεβὼ καὶ φησὶν αὐτῷ· 'Σκέψαι τί βούλεται περὶ ἐμοῦ Φίλιππος.' Ὁ δὲ
προενεγκάμενος πίνακα συνθεὶς τοὺς ἀστέρας ἐσκέπτετο· παρακαθεζόμενος
δὲ ὁ Ἀλέξανδρος εἶπε· 'Πάτερ, οὗτοι οὓς λέγεις ἀστέρας ἐν οὐρανῷ φαί-
νονται'; Ὁ δὲ εἶπε· 'Καὶ μάλα τέκνον.' Ὁ δὲ εἶπε· 'Καὶ δύναμαι αὐτοὺς
ἰδεῖν'; — 'Δύνασαι'. Ὁ δέ· 'Πότε'; Ὁ δέ· ''Εσπέρας'.
Καὶ παραλαβὼν ὁ Νεκτανεβὼς τὸν Ἀλέξανδρον ἑσπέρας γενομένης — 3
καὶ ὁ τηλικαῦτα διανύσας προφήτης διὰ τῆς ἑαυτοῦ μαγείας, † ἀστρολογίας δὲ
οὐ μικρὸς καὶ προορῶν τὰ μέλλοντα ἔσεσθαι πῶς εἰς Ἀλεξάνδρου χεῖρας
ἐμπεσὼν οὐ προέγνω τότε τὴν προκειμένην αὐτῷ συμφοράν; ἄγει γὰρ 4
αὐτὸν ἔξω τῆς πόλεως ὁ Νεκτανεβὼς καὶ ἀναβλέπων εἰς τὸν οὐρανὸν
ἐδείκνυε τῷ Ἀλεξάνδρῳ τοὺς ἀστέρας, διδάσκων τὴν ἑαυτοῦ μηχανίαν.
ὁ δὲ Ἀλέξανδρος ἄρας αὐτὸν ἐπ' ὤμοις κατεκένωσεν εἰς κρημνώδη τόπον 5
καὶ ὀχυρόν. καταπίπτων δὲ λαμβάνει φοβερῶς κατὰ τοῦ ἐγκεφάλου καὶ
λέγει· 'Τέκνον Ἀλέξανδρε, τί σοι ἔδοξε τοῦτο ποιῆσαι'; Ὁ δὲ εἶπε· 'Σεαυτὸν
μέμφου ἀστρολόγε.' Ὁ δέ φησι· 'Διὰ τί;' Ὁ δὲ εἶπεν· ''Ὅτι τὰ ἐπὶ γῆς
μὴ ἐπιστάμενος τὰ τοῦ οὐρανοῦ ζητεῖς εἰδέναι.' Ὁ δὲ εἶπε· 'Τελευτῶ 6
Ἀλέξανδρε· φοβερῶς εἴληφα τὸ πρᾶγμα. ἀλλ' οὐκ ἔστιν οὐδένα θνητὸν

1 αὐτὸ A facile λαβ. ⟨καὶ⟩ κάγγελον χαλινῶι A, qui prolixiorem orationem contraxit; χαλινοὺς τιθέντες Arm. ἀχαλίνωτον B′ 3 ληστείαις ἢ φόνων αὐτὸν παραλάβωμεν A ⟨τοῦτο⟩ εἰπ. facile expleas 6 ἑαυτῶι A 8 δέ σου τὴν χ. A 9 ὅμοιος — ἀνόμοιος A, transposui; cett. nil fere nisi ὅτι οὐχ ὅμοιός μοι τυγχάνει(ς). *tristis existo, quia figura tua non assimilatur mihi* Leo (cf. c. 16, 5) add. B′ λυπηρὰ δὲ ταῦτα πάντα τῇ Ὀλ. ἐτύγχανε (cf. Leo Arm.) 10 ὄντι φίλιππος A 11 βουλεύεται Arm. (Val. Syr.) 12 τὸν πίνακα B′ proclive ⟨καὶ⟩ συνθ. 13 plura de stellis Leo Syr. 14 dialogum deminuerunt cett. 16 καὶ ὁ — 19 συμφορὰν in uno A, turbantia structuram 17 voluitne ἀστρολόγος? possis —γίας δὲ ἔμπειρος 21 διδ. — μηχ. solus A; plura de stellis Leo Syr. 22 melius ἐπ' ὤμων; *fecit impetum in eum* Leo συλλαβὼν ἤνεγκεν αὐτὸν καὶ κατέβαλεν Arm. κατέχων αὐτοῦ τὴν χεῖρα B′ 23 ὀχυροῦν A ἐγκεφάλου A: ἰσχίον vel ἴνιον cett. *letali ictu cervicis* Val. 25 cf. fab. Aesop. 72 H. (Ausf. 130). Dümmler Antisthen. 69 26 εἰδέναι om. B′ Arm. 27 πρᾶγμα: nempe τραῦμα ut B′ Arm.

νικῆσαι τὴν εἱμαρμένην. ὡς γὰρ ἐμοιρολόγησα ἐμαυτόν, ηὗρον εἱμαρμένον
μοι ὑπὸ ἰδίου τέκνου ἀναιρεθῆναι· οὐκ ἐξέφυγον οὖν τὴν μοῖραν, ἀλλ'
ὑπὸ σοῦ ἀνῃρέθην.' Εἶπε δὲ ὁ Ἀλέξανδρος· ''Ἐγὼ οὖν σοῦ υἱὸς τυγχάνω'; 7
Ἔφη αὐτῷ· 'Ναὶ τέκνον.' Ὁ δὲ εἶπε· 'Πῶς γέγονε τοῦτο'; Ὁ δὲ Νεκτα-
νεβὼς διηγήσατο αὐτῷ τὴν ἀπ' Αἰγύπτου φυγὴν καὶ τὴν εἴσοδον τὴν πρὸς
Ὀλυμπιάδα καὶ πῶς εἰσῆλθε πρὸς αὐτὴν ὡς θεὸς Ἄμμων καὶ συνεμίγη
αὐτῇ. Λέγων ⟨δὲ⟩ ταῦτα ἐξέπνευσε.

Μαθὼν οὖν Ἀλέξανδρος αὐτοῦ πατέρα τὸν τελευτήσαντα εἶναι ἐφοβήθη 8
αὐτὸν ἀφεῖναι ἐν τῷ βόθρῳ, μὴ θηριόβρωτος γένηται· νὺξ γὰρ ἐπέφρα
καὶ ἐρημία ἦν. στοργὴν δὲ λαβὼν πρὸς τὸν σπείραντα ἔφη πρὸς αὐτόν·
'Οὐκ εὖ ἐποίησας πάτερ, ὡς αὐτὸς ἔφης, μὴ ἐγχειρισάμενος ἡμῖν ζῶν τὸ 9
γεγονὸς παρὰ σοῦ, ἵνα καὶ ἡμεῖς ἐπεγνωκότες τὸν σπείραντα ἀμοιβαῖς † εἰς
σὲ πράξωμεν ⟨καὶ⟩ χρησταῖς ἀποδόσεσι. καρτερήσας οὖν ἕως θανάτου
προσεπόρισας σεαυτῷ τὸν ἄξιον μισθὸν ὑπὲρ ἑκάστης γοητείας ἧς ἔπραξας
καὶ τῆς εἰς Φίλιππον καὶ Ὀλυμπιάδα ἀπατήσεως τῆς παρὰ σοῦ γεγενημένης.
τοίνυν ἐγὼ μὲν ἀλγῶ πάτερ ἐπὶ τῷ γεγενημένῳ παρ' ἐμοῦ, ἀναίτιος ⟨δὲ⟩ 10
τυγχάνω· αἴτιος γὰρ σὺ σεαυτῷ κατέστης τῆς τελευτῆς. βαστάξας ἐπ'
ἐμοῖς ὤμοις σὸν σκῆνος ἀποκομίσω πρὸς τὴν ἐμαυτοῦ μητέρα, ἐξαγγέλλων
αὐτῇ τὰ πεπραγμένα, καὶ συμβουλεύσω τὴν σὴν ταφὴν γενέσθαι.'

Ταῦτα εἰπὼν τίθεται αὐτὸν ἐπὶ τῶν ὤμων γενναίως καὶ φέρει εἴσω 11
τῶν πυλῶν· εἰσελθὼν δὲ πρὸς τὴν μητέρα διηγήσατο αὐτῇ, ὅσα ἤκουσε
παρ' αὐτοῦ, καὶ ὅτι δεῖ αὐτὸν ταφῆς τυχεῖν. ἡ δὲ θαυμάσασα καὶ ἑαυτῆς
καταγνοῦσα ὡς πλανηθεῖσα μαγείαις καὶ προδοθεῖσα ἀνοήτως ἔθαψε
πρεπόντως τὸν Νεκτανεβὼ καὶ τάφον ποιησαμένη ἐκεῖ ἔθετο.

Ἐπανελθὼν δὲ ὁ Φίλιππος εἰς τὰ ἴδια βασίλεια ἔπεμψεν εἰς Δελ- 15
φοὺς χρησμὸν ληψόμενος, τίς ἄρα μετ' αὐτὸν βασιλεύσει καὶ δόρατι πάντας
ὑποτάξει. ἔφη δὲ ὁ χρησμός· ''Ὅστις τὸν Βουκέφαλον ἵππον διὰ μέσης
⟨τῆς⟩ Πέλλης ἁλλόμενος ὁδεύσει.' Ἐκλήθη δὲ ⟨ὁ⟩ ἵππος Βουκέφαλος, 2
ἐπειδὴ ἐν τῷ μηρῷ αὐτοῦ ἔγκαυμα βοὸς κεφαλὴν ἐξέφηνεν. ὁ δὲ Φίλιπ-
πος ἀκούσας τὸν χρησμὸν καθορᾶν προσεδόκα νέον Ἡρακλέα.

1 post εἱμαρμ. add. B′ (Arm. Val.) ὁ δὲ Ἀλ. εἶπε· διὰ τί; λέγει αὐτῷ Νεκτ. ἐμοιρολογισάμην A, corr. ex B′ ηὗραν εἱμαρμένην A 3 σὺ A 6 post Ὀλυμπ. add. καὶ τὴν σκέψιν αὐτῆς B′ (Arm. Val. Syr.) 7 δὲ add. ex P′ 9 ἐπέφρα ab ἐπιφρέω derivasse vid. (ἦν B′) 10 ἔφη — 19 γενέσθαι solus A 12 nempe τὸ γεγονέναι ἵνα σε καὶ A 15 ἐπιθέσεως A 17 σεαυτοῦ A 20 τὸν ὦμον A ἔξω A 21 in B′ Syr. Alex. matri sciscitanti respondet: νέος Αἰνείας Ἀγχίσην βαστάζω 22 ἑαυτὴν A 23 μοιχευθεῖσα B′ Arm. 24 Νεκτ. ὡς πατέρα τοῦ υἱοῦ αὐτῆς Arm. cf. B′ Val. (?) de Nectanebi et Alexandri sepulcris declamant B′ Val. Arm. 26 καὶ — ὑποτ. om. cett., responso inserunt B′ Arm. Val. 27 δὲ: τὲ A τούτῳ δὲ ἡ Δελφικὴ Πυθία γευσαμένη τοῦ Κασταλίου νάματος χθονίου οὕτως εἶπε Arm. (cf. B′) 28 ἁλλόμενος post ἵππον B′ Πέλλης L C al.: πόλεως A διοδεύσει B′ Val. 29 ἔκκαμμα A εἶχεν B′ 30 καθῶραν A ὁρᾶν Arm.

Ἀλέξανδρος δὲ Ἀριστοτέλει τῷ Μιλησίῳ σοφιστῇ μόνῳ ἐκέχρητο. καὶ 16
πολλῶν ὄντων παίδων τῷ Ἀριστοτέλει ἐπὶ μαθήμασιν, ὄντων δὲ καὶ βασιλέων
υἱῶν, εἶπε πρὸς ἕνα ὁ Ἀριστοτέλης· ‘Ἐὰν κληρονομήσῃς ⟨τὸ⟩ τοῦ πατρὸς 2
βασίλειον, τί μοι παρέξεις τῷ καθηγητῇ σου;’ Ὁ δὲ εἶπεν· ‘Ἔσῃ παρ’ ἐμοὶ
συνδίαιτος κοσμοκράτωρ, καὶ ἔνδοξον [ἄνδρα] παρὰ πᾶσίν σε ποιήσω.’ Ἑτέρου
δὲ ἐπύθετο· ‘Εἰ δὲ σὺ τέκνον παραλάβῃς τὸ βασίλειον τοῦ πατρός σου, πῶς
μοι χρήσῃ;’ Ὁ δὲ εἶπε· ‘Διοικητήν σε ποιήσω καὶ τῶν ὑπ’ ἐμοῦ κρινο-
μένων σύμβουλον.’ Ἄλλου δὲ καὶ ἄλλου ἐπύθετο καὶ τὰς ὑποσχέσεις 3
λαμβάνει· εἶπε δὲ καὶ Ἀλεξάνδρῳ· ‘Καὶ σὺ τέκνον, εἰ παραλάβῃς τὸ βασί-
λειον παρὰ τοῦ πατρός σου, πῶς μοι χρήσῃ τῷ καθηγητῇ σου;’ Ὁ δὲ
εἶπε· ‘Περὶ μελλόντων μου πραγμάτων πυνθάνῃ, τῆς αὔριον ἐνέχυρον μὴ 4
ἔχων; τότε δώσω, ἐάν μοι δόξῃ, τοῦ καιροῦ καὶ τῆς ὥρας τὴν ὑπόσχεσιν
τοῦ παρασχεῖν ἐπιτρεχόντων.’ Καὶ εἶπεν ὁ Ἀριστοτέλης· ‘Χαίροις 5
κοσμοκράτωρ· σὺ γὰρ εἶ βασιλεὺς μέγιστος.’ Ὑπὸ πάντων μὲν οὖν ὁ
Ἀλέξανδρος ἐφιλεῖτο ὡς φρενήρης καὶ πολεμιστής, ὑπὸ δὲ τοῦ Φιλίππου
ἐν ἀμφιβολίᾳ ἦν· ἔχαιρε γὰρ ὁρῶν αὐτὸν τοιοῦτον ἀρειμάνιον, ἐλυπεῖτο
δὲ μὴ ὅμοιον αὐτὸν ὁρῶν τοῦ ἰδίου χαρακτῆρος.

Γενομένου δὲ τοῦ Ἀλεξάνδρου ἐτῶν ιδ′ ἐν μιᾷ τῶν ἡμερῶν ἐκ τύχης 17
διερχόμενος τὸν τόπον, ὅπου ἐνέκειτο ὁ Βουκέφαλος, ἤκουσε χρεμετισμοῦ
φοβερωτάτου· καὶ ἐπιστραφεὶς πρὸς τοὺς φίλους φησίν· ‘Ἄνδρες, οὗτος
χρεμετισμὸς ἵππου ἢ λέοντος βρύχημα;’ Παρεπόμενος δὲ τούτῳ Πτολε- 2
μαῖος ⟨ὁ⟩ ὕστερον σωτὴρ ἐπικληθείς φησιν· ‘Οὗτός ἐστιν ὁ Βουκέφαλος,
ὃν ὁ πατήρ σου ἐνέκλεισεν διὰ τὸ ἀνθρωποφάγον αὐτὸν εἶναι.’ Ἐπα- 3
κούσας δὲ ὁ ἵππος τῆς τοῦ Ἀλεξάνδρου λαλιᾶς ἐχρεμέτισεν ἐκ δευτέρου
οὐχ ὡς πάντοτε φοβερὸν καὶ γοερόν, ἀλλὰ μειλίχιον, τάχα ὑπὸ θεοῦ ἐπι-
τασσόμενος· καὶ θεασάμενος αὐτὸς ὁ Βουκέφαλος τὸν Ἀλέξανδρον προέτεινε
τοὺς πόδας ἔμπροσθεν καὶ τὰ πάντα ἐκίνησεν, ὡς τῷ ἰδίῳ δεσπότῃ
λιτανείας ὑποφαίνων. ὁ δὲ Ἀλέξανδρος θεασάμενος αὐτοῦ τὴν καινὴν 4

1 *Μιλησίῳ* etiam Val.: *Σταγειρίτῃ* Arm. om. B′ Syr. *μόνῳ* B′ (Val.): *μόνου* A *μόνος* Arm. *μόνος οὐκ* L, unde *οὐ μόνος* Meus. *καίτοι* A 2 nempe *μάθησιν* cl. B′ Arm. 3 *εἶπεν οὖν* A *ἕνα*: nomina et alia quaedam add. Byz. Syr. 4 *παρ’ ἐμοῦ* A 5 *μηνοκράτωρ* L, om. cett. recte *ἄνδρα* om. B′ recte 11 *μοι* A 13 cur non *τοῦ παρ. τὴν ὑπ.*? 14 *εἶ ὁ* A *ἔσῃ* B′ 16 *ἐν* add. e B′ *ἑαυτὸν* A *ἀριμάνιος* A *ὁρ. τοι. ἀρ. πνεῦμα* B′ (Arm.) *δὲ ἐλυπεῖτο μὴ* A 17 *ὅμοιος αὐ. ἔρων* A (cf. p. 13, 20) In Arm. Val. Syr. inseritur epistolarum commercium inter Zeuxidem reges Aristotelem Alexandrum 18—18, 8 haec paulum mutata in Leone Syr. *ιε′* B′ 18 *ἔτυχε διέρχεσθαι αὐτὸν* B′ 19 *διερχομένων τῶν τόπων* A nempe *ἐκέκλειτο* vel. *ἐνεκ.*, cf. B′ cett. 20 *οὗτος ὁ* fort. A 25 *πάντοτε* etiam B′ 26 *αὐτὸς* abundat; possis etiam *αὐτὸν* 27 *τοὺς ἐμπροσθίους πόδας* B′ Byz. Val. *καὶ τὰ*: *κατὰ* A *τὸ πρόσωπον πᾶν ἐκίνησε* Arm. *τὴν γλῶτταν προσχών* L (B′) *τὰ ὦτα* Raderm. 28 *λιτανέας ὑποφαίνειν* A

*πρόσοψιν ⟨καὶ⟩ λείψανα πολλῶν ἀνθρώπων βιοθανατησάντων ἠλέησεν ὡς
ἄνθρωπος ⟨καὶ⟩ παραγκωνισάμενος τοὺς φυλάσσοντας ἠνέῳξε τὸ κάγκελλον
τῇ ἑαυτοῦ †τάξει πεποιθώς· καὶ δραξάμενος τῆς τοῦ ἵππου χαίτης
ὑποτεταγμένου αὐτῷ †γεννήσει δ' ἂν ἀχαλίνωτον. δραμὼν δέ τις εὐθέως* 5
*ἀπαγγέλλει τῷ Φιλίππῳ τὸ γεγονός· ὁ δὲ ὑπομνησθεὶς τοῦ χρησμοῦ
ὑπήντησε τῷ υἱῷ καὶ ἠσπάσατο εἰπών· 'Ἀλέξανδρε κοσμοκράτωρ, χαί-
ροις μοι.'*

Ὁ οὖν Φίλιππος ἱλαρὸς ἐπὶ τῇ τοῦ τέκνου ἐλπίδι γεγηθότως διετέλει· 18
*ὁ δὲ Ἀλέξανδρος πεντεκαιδεκαέτης γεγονὼς ἐν μιᾷ τῶν ἡμερῶν εὐκαιροῦντα
τὸν πατέρα εὑρὼν καταφιλήσας φησί· 'Πάτερ δέομαί σου, ἐπίτρεψόν μοι
εἰς Πίσας πλεῦσαι.' ὁ δὲ εἶπεν '. . . οὐχὶ πάτερ, ἀλλ' αὐτὸς ἀγωνίσασθαι.'* 2
*— 'Καὶ ποῖον', φησίν, 'ἄσκημα ἀσκήσας τοῦτο ἐπιθυμεῖς; οἶδα γὰρ ὅτι
ὡς βασιλέως υἱὸς οὐδὲν πλέον πολεμικῶν ἀσκημάτων ἀγωνίζῃ· οὔτε γὰρ
πάλην οὔτε παγκράτιον οὔτε ἕτερόν τι τῶν γυμναστικῶν ἐγυμνάσω.' Ὁ δὲ
Ἀλέξανδρος ἔφη· 'Ἁρματηλατῆσαι βούλομαι πάτερ.' Ὁ δὲ εἶπε· 'Τέκνον,* 3
*προνοηθήσονται ἵπποι ἐκ τῶν ἐμῶν ἱπποστασιῶν, καὶ οὗτοι συμπαρα-
κολουθήσουσιν εὐθέως· σὺ δὲ ἐπιμελῶς ἑαυτὸν ἐπίσχες, ὡς ὁ ἀγὼν ἐνδοξό-
τατος.' Ὁ δὲ εἶπε· 'Σύ μοι μόνον ἐπίτρεψον· ἐγὼ γὰρ ἔχω ἐμαυτῷ* 4
*ἵππους, οὓς ἐκ νέας ἡλικίας ἔθρεψα.' Καταφιλήσας τοῦτον ὁ Φίλιππος
καὶ θαυμάσας τὴν προθυμίαν αὐτοῦ φησι· 'Τέκνον, εἰ βούλει πορεύου.'*

Ἀπελθὼν οὖν ἐπὶ ⟨τὸν⟩ λιμένα ἐκέλευσε νῆα καινὴν καθελκυσθῆναι 5
*καὶ τοὺς ἵππους ἅμα τοῖς ἅρμασιν ἐμβληθῆναι [εἶπεν]· ἐπενέβη δὲ καὶ
αὐτὸς ἅμα τῷ φίλῳ Ἡφαιστίωνι καὶ εὐπλοήσας παρεγένετο εἰς Πίσας. ἐκβὰς
δὲ καὶ λαβὼν ξένια ἐκέλευσε τοῖς θεράπουσι γενέσθαι περὶ τὴν τῶν ἵππων
ἐπιμέλειαν, καὶ αὐτὸς ἅμα τῷ Ἡφαιστίωνι ἐπὶ περίπατον ἐξῄει. τούτοις* 6
συνήντησε Νικόλαος ὀνόματι, ἀνδροφυὴς τῇ ἡλικίᾳ, βασιλεὺς [ἀβέβαιος]

---

1 *ἠλ. ὡς ἄνθ*, etiam Arm. 2 *τοὺς φίλους ὄντας* A *τὸν κάγγελον* A 3 *τάξει* librarius pro satellitibus accepisse videtur; *γεννήσει* (cf. v. 4) Arm.; neutrum ferendum. Fuitne *τῇ αὐτοῦ ὑποτάξει?* 4 *ἥλατο (αὐτὸν) ἀχ.* B′ *ascendit super eum* Leo *effrenemque eum sed morigerum tamen imperiosis motibus . . . circumducit* Val. *ἤγαγεν ὑποτεταγμένον δυνάμει μᾶλλον ἢ τύχῃ καὶ ἐφήλατο αὐτῷ ἀχαλινώτῳ* Arm. Deinde Pellam eum perequitasse commemorari debebat 8 *λεληθότως* Arm. 11 *Πίσας* omnes excidit fere *βούλει θεᾶσθαι τὸν ἀγῶνα τῶν Ὀλυμπίων; λέγει ὁ παῖς* (ita Arm. Syr., cf. Byz. B′) *πάτερ: τέκνον* A 13 *πλέον* etiam Arm. (facile *πλὴν*) 14 *πάλλη οὔτε παγκράτιος* A *γυμνασμάτων* Arm. recte 16 *ἱπποσιῶν* A *συμπαρακολουθήσωσιν* A 17 *ἐπίσχες* A (*halte dich selbst so gut als möglich in den Übungen* Syr.): *γύμναζε* B′ *ὡς ἅτε ἐνδοξότατα* A (cf. B′ Syr.) 18 *μοι: με* A *ἐπίτρ. ἀπελθεῖν εἰς τὸν ἀγῶνα* B′ (Arm.) 21 *ἀνελθὼν* A *κατασκευασθῆναι* B′ Arm. 23 *ἡφιστίωνι* A *ἐμβὰς* A 24 *ξένια (πολλὰ)* B′ (cf. Byz.): *ξενίαν* A Arm. *θεράπωσιν* A 26 latet *Ἀρριδαίου* nomen, quem Nicolai patrem fuisse dicit Byz. v. 816. 873? *rex Arideorum* Leo alio loco *υἱὸς Ἀρείου* B′

Ἀκαρνάνων, πλούτῳ καὶ τύχῃ, δυσὶ θεοῖς ἀστάτοις, φρυαττόμενος καὶ τῇ
τοῦ σώματος δυνάμει πεποιθώς. ⟨καὶ⟩ προσελθὼν ἠσπάσατο τὸν Ἀλέξ-
ανδρον, ἅμα δὲ ἐπὶ τί πάρεστι θέλων μαθεῖν [καὶ] εἶπε· ‘Χαίροις μει-
ράκιον.’ ‘Ὁ δὲ εἶπε· ‘Χαίροις καὶ σύ, ὅστις ποτὲ τυγχάνεις.’ ‘Ὁ δέ φησι· 7
‘Τίνα που ἐμὲ προσαγορεύεις; ἐγώ εἰμι Νικόλαος τοὔνομα βασιλεὺς Ἀκαρ-
νάνων.’ ‘Ὁ δὲ Ἀλέξανδρος εἶπε· ‘Μὴ οὕτως γαυριῶ Νικόλαε βασιλεῦ, ὡς
ἱκανὸν ἔχων περὶ τῆς αὔριον ἐνέχυρον ζωῆς· ἡ τύχη οὐχ ἕστηκεν ἐφ’ ἑνὸς
τόπου, ῥοπὴ δὲ μεταβάλλει καὶ τοὺς ἀλαζόνας αὐχενίζει.’ ‘Ὁ δέ φησι· 8
‘Λέγεις μὲν ὀρθῶς· ἐπὶ τί δὲ παρεγένου ἐνταῦθα; ἔμαθον γὰρ ὅτι Φι-
λίππου Μακεδόνος παῖς τυγχάνεις.’ ‘Ὁ δὲ εἶπε· ‘Πάρειμι ἀγωνισόμενος
οὐ τὸν ἱππαστήν (καὶ γὰρ ἔτι μικρός εἰμι τῇ ἡλικίᾳ) οὐδὲ ⟨τὸν⟩ συνωρίδος
οὐδὲ ἕτερόν τινα τοιοῦτον.’ ‘Ὁ δὲ εἶπε· ‘Τί οὖν βούλει;’ ‘Ὁ δέ· ‘‘Ἀρ- 9
ματηλατῆσαι θέλω.’ Διαζέσας ⟨δὲ⟩ τῇ χολῇ ὁ Νικόλαος καὶ τῆς αὐτοῦ
καταφρονήσας ἡλικίας, οὐ μαθὼν τὸ τῆς ψυχῆς ἔγκυμον ἐνέπτυσεν αὐτῷ
καὶ λέγει· ‘Μή σοι καλὸν γένοιτο.’ ‘Ὁ δὲ δεδιδαγμένος τῆς φύσεως 10
ἐγκρατεύεσθαι, ἀπομαξάμενος τὸν ἐν ὕβρει πτύελον καὶ μειδιάσας θανάσι-
μόν φησι· ‘Νικόλαε, ὄμνυμι ἁγνὴν τοῦ ἐμοῦ πατρὸς σπορὰν καὶ μητρὸς
γαστέρα ἱεράν, ὡς καὶ ἐνθάδε ἅρματί σε νικήσω καὶ ἐν τῇ πατρίδι
Ἀκαρνάνων δόρατί σε λήψομαι.’ Ταῦτα εἰπόντες ἀπέστησαν ἀπ’ ἀλλήλων
διαδακνόμενοι.

Μετὰ δὲ ὀλίγας ἡμέρας ἐνέστη ἡ τοῦ ἀγῶνος προθεσμία, καὶ εἰσῆλθον 19
ἁρματηλάται ἐννέα, ἐξ ὧν τέσσαρες υἱοὶ βασιλέων, αὐτὸς ὁ Νικόλαος καὶ
Ξανθίας Βοιώτιος καὶ Κίμων Κορίνθιος καὶ αὐτὸς Ἀλέξανδρος· οἱ δὲ
ἄλλοι στρατηγῶν καὶ σατραπῶν υἱοί. ἐτέθη ὑδρία καὶ ἐκληρώθη· ἔλαχεν 2
α' Νικόλαος, β' Ξανθίας, γ' Κίμων, δ' Κλειτόμαχος Ἀχαιός, ε' Ἀρίστιπ-
πος Ὀλύνθιος, ς' Πίερος Φωκαεύς, ζ' Λάκων Λίνδιος, η' Ἀλέξανδρος

5 τίνα ποῦ ἐμὲν προσαγορεύσεις A (Arm.) *et quem arbitrare te tam incuriosius salutasse* Val. (cf. Syr.); nolui τίνα τρόπον 6 ταυρωῖ νίκολλε A βασ. μὴ ὡς δεκανὸν ἔχει A (fuit μηδὲ ὡς in A'), corr. ex B' (cf. p. 17, 11) 7 οὐκ ἕστηκεν A 8 τόπωι A an ῥοπῇ? ἀγχενίζει A 9 ὀρθῶς, ὑπονοεῖς δὲ οὐχ οὕτως B' ἐπιτήδεον παρεγ. A (possis δ' οὖν sive τί δέον = τίνα χρείαν) ἐντ., θεατὴς ἢ ἀγωνιστὴς B' Syr. 10 ἀγωνισομένουσου τὸν A οὐ om. B' 11 ἱππαστικὸν B' 12 ἕτερόν τι τοῦτο A (possis τι τοιοῦτο) οὖν suprascr. A ὑπερζέσας B' 13 καὶ τίσαυτοῦ καταφρονῆσου τῆς ἡλ. A 14 ἔγχυμα A ἔκχυμα L Byz. εὔθυμον C τὴν τῆς ψυχῆς ἀνδρείαν Arm. *vim animi* Val., corr. dubitanter αὐτὸν A 15 γένοιτο: add. ὁρᾶτε εἰς τίνα ἐλήλυθε τὸ τῆς Πίσης στάδιον B' (cf. Syr.) 18 γαστέραν A 19 λεηλατήσω Arm. 20 διαμαχόμενοι B' Arm. 21 ἀνέστη A ἐπέστη B' 22 ἁρματηλατῆσαι A βασιλέως A 24 σατράτων A ἐτέθησαν λοιπὸν τὰ τοῦ ἀγῶνος πάντα καὶ ἡ κάλπη (vel κάμπη) ἐκληρώθη B' 25 κίμος A κλινόμαχος A, corr. ex B' Arm. Val. ἀφίστιππος A 26 περίερος φωσκεύς A πιήριος B' Πίερος Val. Arm. ζ' Κίμων Λάκων Arm. Κίμων Λίνδιος L Λακωνίδης B *Alcan* Val. λύδιος A, corr. ex L

Μακεδών, θ' Νικόμαχος Λοκρός. ἔστησαν ἐπὶ τὴν ἱππαφεσίαν ἐποχού- 3
μενοι τοῖς ἅρμασιν· ὠλόλυξεν ἡ σάλπιγξ τὸ ἐναγώνιον μέλος, ἀφέθη ἡ
ἀφετηρία, προεπήδησαν πάντες ὀξεῖ ὁρμήματι . . . πρῶτον καμπτῆρα 4
καὶ δεύτερον καὶ τρίτον τε καὶ τέταρτον . . . ὑστερήσαντες ἀτονησάντων
τῶν ἵππων λιποψυχησάντων· τέταρτος ἦν Ἀλέξανδρος ἐλαύνων, ὄπισθεν
⟨δὲ⟩ αὐτοῦ Νικόλαος οὐχ οὕτως ἔχων τὸ νικῆσαι ὡς τὸ ἀνελεῖν τὸν
Ἀλέξανδρον· ἦν γὰρ ὁ πατὴρ Νικολάου ἐν τῷ πολέμῳ ὑπὸ Φιλίππου
ἀναιρεθείς. τοῦτο οὖν γνοὺς ὁ φρενήρης Ἀλέξανδρος, πεσόντων τῶν 5
ἐλαυνόντων πρώτων συγχωρεῖ τῷ Νικολάῳ παρελθεῖν· ὁ δὲ Νικόλαος
οἰηθεὶς νενικηκέναι τὸν Ἀλέξανδρον διαβαίνει ἐλπίδας ἔχων στεφανωθῆναι
ὡς νικητής· μετὰ δὲ δύο καὶ τρία στάδια κονδυλίζει ὁ ⟨δεξιὸς⟩ ἵππος
Νικολάου καὶ καταπίπτει ὅλον τὸ ἅρμα σὺν αὐτῷ τῷ ἡνιόχῳ· ὁ δὲ ἐπιβὰς
τῇ ὁρμῇ τῶν ἵππων ὁ Ἀλέξανδρος παραυτὰ ἀνήρηκε τὸν Νικόλαον. καὶ 6
ἀναβαίνει ἐστεμμένος τὸν κότινον παρὰ τὸν Ὀλύμπιον Δία. ὁ δὲ νεωκόρος
φησὶν αὐτῷ· ‘Ἀλέξανδρε, ὡς Νικόλαον ἐνίκησας, οὕτω καὶ πολλοὺς πολεμίους νικήσεις.’

Ταύτην λαβὼν τὴν κληδόνα Ἀλέξανδρος ὑποστρέφει καὶ ἔρχεται εἰς 20
τὴν Πέλλην καὶ εὑρίσκει ἀπόβλητον γεναμένην τὴν Ὀλυμπιάδα ὑπὸ Φιλίππου,
γαμοῦντα δὲ τοῦτον τὴν ἀδελφὴν Ἀττάλου Κλεοπάτραν. ἐπιτελουμένων 2
δὲ τῶν γάμων ἔχων τὸν Ὀλύμπιον τὸν νικητικὸν στέφανον εἰσέρχεται καὶ
ἀνακλιθεὶς λέγει· ‘Πάτερ, δέξαι τῶν πρώτων μου ἱδρώτων τὸν νικητικὸν

1 κλινομαχος A, corr. ex Arm. B' ἱπποφασίαν A ἱππασίαν B', correxi 2 ἠλάλαξεν B' 3 verbum deest etiam in BL Arm. Syr. περιῆλθον C προσετέλεσαν Byz. πρῶτον: πρὸς τὸν A 4 dele τε aut scr. δὲ οἱ μὲν οὖν ὑστεροῦντες ἠτόνησαν B' (cf. Byz.) καὶ ἐπεὶ ἡτοιμάσθησαν οἱ ἵπποι καὶ ἔστασαν παρεσκευασμένοι, καὶ τέταρτος ἦν Arm. dici debebat quinque aurigas de spe victoriae decidisse 5 an ⟨ἢ⟩ λιπ.? 6 αὐτῶν νικόλαον A ἔχειν A ⟨ἐν νῷ⟩ ἔχων Rad 8 φρενίμης A πεσόντα αὐτὸν ἐλαύνοντα πρῶτον A 9 παρενθεῖν A Νικ. ἀγνοῶν τὴν ἐνέδραν διέβη B' Arm. 10 στεφ. καὶ λοιπὸν ἤλαυνε πρῶτος B' (Arm.) 11 δύο καμπτῆρας B' de καὶ τρία cf. Kirk Am. Journ. of Phil. 42, 1 σκονδυλίζει A B' Byz. Pluribus haec narrat B': τοῦ Νικ. ἐπὶ τῷ πρώτῳ ἅρματι, καὶ συμπεσόντων τῶν ἵππων καταπίπτει ὁ Νικ. ὁ οὖν Ἀλ. ἐπιβαίνει τῇ ὁρμῇ τῶν ἵππων αὐτοῦ καὶ παρερχόμενος ἐπιλαμβάνεται τοῦ ἄξονος τῶν ὀπισθίων τοῦ Νικ. σὺν τῷ ἡνιόχῳ, καὶ τελευτᾷ ὁ Νικ. καὶ διαμένει λοιπὸν Ἀλ. μονώτατος· καὶ γίνεται ἡ παροιμία τῷ τελευτήσαντι ἡ λέγουσα· ὃς ἄλλῳ κακὰ τεύχει, ἑαυτῷ κακὸν τέτευχεν (add. Arm. καὶ· τὸ κακὸν νόημα τῷ νοήσαντι μάλα κακόν ἐστι = Hesiod. op. 265 sq.). Valde haec exornat Syr. 12 καὶ πεσόντος τοῦ παρηόρου ὅλ. Arm. ὅλως A ἐπιβαίνει etiam B' (ἐπιμένει BM) 14 κόκκινον A, corr. e Byz. Arm. B' τὴν ὀλύμπιος A νεωκόρος etiam Arm. μάντις B' διάκονος Byz. *sacerdos* Val. 15 Ἀλ. προμηνύει σοι ὁ Ὀλύμπιος Ζεὺς ταῦτα B' Arm. πολλοῦ πολεμίου A 17 νικολαος (pro Ἀλέξ.) A 19 Ἀττάλου Müll.: *Apali* Val. *Assan* Arm. *Athlîs* Syr.: αὐτοῦ A Λυσίου B' Byz. At in Val. Arm. Syr. est filia Attali, in B' Byz. soror Lysiae; *cuiusdam hominis filiam* Leo 20 transpone τὸν Ὀλ. post στέφανον (om. partim B')

στέφανον. ὅταν μέντοι κἀγὼ ἐκδώσω τὴν ἐμαυτοῦ μητέρα πρὸς γάμον,
καλέσω σε εἰς τοὺς ἐμῆς μητρὸς γάμους.' Ὁ δὲ Φίλιππος ἐπὶ τοῖς εἰρη- 3
μένοις ἐτρύχετο.
Ἦν δέ τις γελωτοποιὸς ὀνόματι Λυσίας· οὗτος ἔφη· 'Φίλιππε, μὴ 21
ἔσο τεταραγμένος μηδὲ τρύχου, ἀλλὰ θάρσει ἐπὶ τῇ νεότητι τῆς νῦν σοι
γαμουμένης, ἐξ ἧς παιδοποιήσεις γνησίους ἀμοιχεύτους παῖδας ὁμοίους τῷ
σῷ χαράγματι.' Ταῦτα ἀκούσας ὁ Ἀλέξανδρος ὠργίσθη καὶ ὡς εἶχε τὴν 2
κύλικα ἐπετίναξε τῷ Λυσίᾳ καὶ παραυτὰ ἀνῄρηκεν αὐτόν. ὁ δὲ Φίλιππος 3
ἀνίσταται ξιφήρης ἐπὶ τὸ τέκνον αὐτοῦ Ἀλέξανδρον, βουλόμενος αὐτὸν
ἀναιρῆσαι· σκελισθέντος δὲ αὐτοῦ καὶ πεσόντος ἐγγὺς τῆς κλιντηρίας εἶπεν
ὁ Ἀλέξανδρος· "Ὁ τὴν Ἀσίαν Φίλιππος σπεύδων λαβεῖν καὶ τὴν Εὐρώπην
ἐκβαθρῶσαι οὐκ ἠδυνήθη βῆμα ἀλλάξασθαι.' Οὕτως εἰπὼν ἥρπαξεν ἀπ' 4
αὐτοῦ τὸ ξίφος καὶ πάντας τοὺς ἀνακεκλιμένους ἡμισφαγεῖς ποιεῖ. καὶ
ἐξέρχεται ἀπὸ τοῦ Φιλίππου καὶ ἔρχεται πρὸς τὴν μητέρα ἔκδικος τῶν
κατ' αὐτῆς γάμων.
Μετὰ δὲ ἡμέρας εἰσέρχεται πρὸς τὸν πατέρα καὶ λέγει· 'Φίλιππε· 22
τῷ γὰρ ὀνόματί σε καλῶ, μήπως ἀηδῶς ἔχῃς τοῦ ὑπ' ἐμοῦ πατέρα σε
καλεῖσθαι· εἰσῆλθον πρός σε οὐχ ὡς υἱός, ἀλλ' ὡς φίλος μεσιτεύων τῶν
ὑπὸ σοῦ ἀδίκως πραχθέντων πρὸς τὴν γυναῖκά σου Ὀλυμπιάδα, μηδὲν σοῦ
ἀδικηθέντος ὑπ' αὐτῆς. εἰπὲ δέ μοι· καλῶς πεποίηκεν Ἀλέξανδρος τὸν 2
Λυσίαν ἀναιρήσας, σὺ δὲ οὐ καλῶς ἔπραξας ⟨πρὸς⟩ τὸ τέκνον σου Ἀλέξαν-
δρον ἐπαναστάς, γαμεῖν δὲ [καὶ] ἑτέραν . . . καλῶς ἔχειν οὕτως νομίσας. 3
ἀλλ' ἐξανάστα καὶ περὶ σεαυτὸν γενοῦ· οἶδα γὰρ διὰ τί νωθρεύῃ· οὐ τὸ

1 *ἐκδόσαιμι τὴν* A (*δώσω* Byz.), et possis *μου τὴν* sine *ἐμαυτοῦ* *μητ.* *βασιλεῖ ἑτέρῳ* B′ Val. Syr. (Leo Arm.) 2 *οὐ καλέσω* Leo Syr. nempe ⟨*τῆς*⟩ *ἐμῆς* 4 similem rem de Attalo ipso narrat Plut. Al. 9, 4 *Λυσ. συνανακεί-μενος τῷ Φιλ.* B′ Val. Arm. 5 *τεύχου* A 6 *γαμωμένης* A *ἀμυχεσίους* A, corr. ex B′ 8 *τὸν Λυσίαν* A *Λυσ. κ. δίδωσιν αὐτῷ κατὰ τοῦ κροτάφου* B′ Arm. Syr. 10 *κλητουρίας* A *κλιτηρίας* Byz. *κλιντῆρες* in B′ infra 11 in his numerorum vestigia 12 *ἐκβαθρώσας* Arm. Val. *βῆμα ἓν (ἀν)ελθεῖν* B′ *unius lectuli spatium sine periculo non emensus est* Val. 13 *ποιεῖ*: plura cett., Arm. sic: *ἦν δὲ ἰδεῖν τὰς τῶν Λαπιθῶν κ. Κενταύρων μάχας τὰς περὶ τῶν Πειριθόου γάμων γενομένας. οἱ μὲν γὰρ αὐτῶν ὑπὸ τοὺς κλιντῆρας εἰσῆλθον, οἱ δὲ ταῖς τραπέζαις ὡς ὅπλοις ἐχρήσαντο, ἄλλοι δὲ εἰς σκοτεινοὺς τόπους ἀνεχώρουν. καὶ ἦν θεωρεῖν νέον Ὀδυσσέα τοὺς Πηνελόπης μνηστῆρας ἀναιροῦντα* 14 *τὸν Φίλιππον* A apud cett. fere matrem in palatium inducit (*egressus igitur concedit ad matrem* Val.); pater aegrotat 15 *τὸν . . γάμον* A *κατ'* om. Arm. Byz. 16 *ἡμέρας δέκα* B′ 17 *ἀηδέως* A *τοῦ* A *τῷ* B′ 18 *μεσιτεύω* A 20 *αὐτὴν* A fuit olim *κακῶς . . . σὺ δὲ καλῶς* (ita etiam Arm.) *ἔπρ.*; sic Syr. Byz., *bene feci, tu autem male fecisti* Leo. In B′ rex dicit: *κακῶς ἐποίησας . . .* deinde Alexander ait: *σὺ δὲ καλῶς ἔπρ.* 21 *λυσσίαν* A 22 supple fere e B′ (Byz.): *βουλόμενος μηδὲν ἀδικηθεὶς ὑπὸ τῆς προτέρας γυναικὸς Ὀλ. καὶ* *οὗτος* A

*σῶμα λέγω, ἀλλὰ τὴν ψυχὴν ἀδημονεῖς ἐπὶ τοῖς ἡμαρτημένοις. ἐγὼ παρα-
καλῶ σε . . .' Ὁ δὲ Φίλιππος μᾶλλον πληγεὶς ὑπὲρ τὴν προτέραν ἀρρωστίαν* 3
*διὰ τὴν τοῦ νέου νουθεσίαν τε καὶ κατάγνωσιν ὁρισάμενος φρονιμώτερον
εἶναι τὸ σιωπήσαντα μὴ ἀποκρίνεσθαι τοῖς ὑπὸ Ἀλεξάνδρου ῥηθεῖσι συμμε-
τρήσας τὰ πάντα ἀχανὴς ἔμεινεν.*

Ὁ δὲ Ἀλέξανδρος ἐξελθὼν ἀπὸ τοῦ Φιλίππου εἰσελθὼν πρὸς τὴν 4
*μητέρα ἔφη αὐτῇ· 'Μὴ ἀγανάκτει μῆτερ ἐπὶ τοῖς γενομένοις σοι ὑπὸ
Φιλίππου. εἰ γὰρ ἐκεῖνον λανθάνει τὸ ἁμάρτημα, ἀλλ' ἐγὼ μέντοι ἔλεγχός
σοι ἔσομαι. ὥστε σὺ πρώτη εἴσελθε πρὸς αὐτόν· πρέπον γάρ ἐστι τὴν
γυναῖκα τῷ ἀνδρὶ ὑποτάσσεσθαι.' Οὕτως εἰπὼν ἤγειρε τὴν μητέρα καὶ* 5
*ἤγαγε πρὸς τὸν Φίλιππον καὶ λέγει· 'Πάτερ — νῦν σε πατέρα καλέσω, ὅτι
καὶ σὺ τῷ τέκνῳ σου ἐπείσθης· πάρεστιν ἡ μήτηρ, πολλὰ ὑπ' ἐμοῦ παρα-
κληθεῖσα τοῦ ἀμνημονῆσαι τῶν ἡμαρτημένων. ἀλλὰ περιπλάκητε ἀλλήλοις
ἐμοῦ ἐναντίον· οὐκ ἔστιν αἰσχρόν· ἐξ ὑμῶν γὰρ ἐφύην.' Οὕτως εἰπὼν* 6
*Ἀλέξανδρος διήλλαξε τοὺς γονεῖς, ὥστε αὐτὸν ὑπὸ πάντων τῶν Μακεδόνων
θαυμάζεσθαι.*

Καὶ δὴ ἔστι πόλις τις ὀνόματι Μοθώνη, ⟨ἣ⟩ ἀπέστη τῆς βασιλείας 23
*Φιλίππου· πέμπει δὲ ἐκεῖ τὸν Ἀλέξανδρον πολεμῆσαι. ὁ δὲ Ἀλέξανδρος
λόγῳ ἔπεισεν ὑπηκόους αὐτοὺς εἶναι ⟨καὶ⟩ τὴν τῶν ὅπλων δύναμιν παρα-
λεῖψαι· οἱ δὲ ἀσμένως ἐδίδοσαν φόρους τάλαντα γ' στρατιώτας δισχιλίους.
καὶ δὴ ὑποστρέφει καὶ εἰσέρχεται πρὸς τὸν πατέρα καὶ εὑρίσκει ἐπάνω* 2
*αὐτοῦ ἄνδρας ἑστῶτας βαρβαρικῷ στολισμῷ, καὶ ἐξετάζει· 'Τίνες εἰσὶν
οὗτοι'; καὶ εἶπον· 'Σατράπαι Δαρείου'. Ὁ δέ· 'Τί πάρεισιν ὧδε'; Οἱ δὲ
εἶπον· 'Τοὺς συνήθεις φόρους ἀπαιτοῦντες τόν πατέρα σου.' — 'Ὑπὲρ τίνος*

---

1 *τῆι ψυχῆι* A *παρακαλέσω Ὀλυμπιάδα διαλλαγῆναί σοι· πεισθήσεται γὰρ τῷ υἱῷ αὐτῆς, κἂν σὺ οὐ θέλῃς πατήρ μου καλεῖσθαι* B′ (cf. Arm. Syr. Val.). **Ergo** scrib. *παρακαλέσω* 2 *ὑπὲρ* scripsi (cf. p. 23, 26): *ὑπὸ* A; admonitio filii gravior aegritudine 3 *ἐρεισάμενος* A, correxi; haec extrema in uno A 4 *συμμ. τ. π.* utrum 'omnibus perpensis' an 'in omnibus modum sibi imponens'? 6 *ἀπὸ τὸν φίλιππον* A 7 *γινομένοις σου* A 8 clarius B′: *ἐκεῖνον λανθάνει τὸ ὑπὸ σοῦ γενόμενον ἁμάρτημα, ἐγὼ δὲ ἔλεγχός σου τυγχάνω, Αἰγυπτίου πατρὸς ὤν* (ultima etiam Arm. Syr.) 9 *αὐτ.* (*καὶ παρεκάλει* add. Arm. Syr.) *διαλλαγῆναί σοι* B′ Arm. Syr. 11 *πάτ. ἐπιστράφηθι πρὸς τὴν γυναῖκά σου* B′ (Arm. Syr. qui Philippum faciem parieti adplicasse narraverat) 12 *τὸ τέκνον* AB′ 13 *τοῦ ἐλθεῖν πρός σε καὶ* B′ Arm. 14 *ἔφυν* B′ 15 *ὑποστάντα τῶν* A 16 add. B′ (Arm. Val. Syr.) *τὸ δὲ ὄνομα τοῦ Λυσίου ἔκτοτε παραιτοῦνται οἱ γαμοῦντες, μήποτε αὐτοῦ ὀνομασθέντος διάλυσιν λάβωσιν* 17 *καὶ δὴ ἐκ τῆς πόλεως* A *μοθόνη* A (*μοθ-* etiam cett.). *Μεθώνη* (vel *Μοθ-*) oppidum a Philippo deletum, *Μαίδων* castellum expugnat Al. (Plut. 9, 1) 18 *Ἀλ. μετὰ πολλῆς στρατιᾶς* B′ (Arm.) 19 *καὶ τὴν* — 20 *δισχιλίους* solus A *ἢ τῇ τ. ὅ. δυνάμει αἰχμαλώτους γενέσθαι* Arm. 20 *δισχιλίους*: $\overline{\beta}$ A 22 *στολ. ἠμφιεσμένους* B′ *ἐνδεδυμένους* **Byz.** 23 *δαρείωι* A *παραγεγόνατε* B′

δέ, φησίν, ἀπαιτοῦσι τοὺς φόρους; Οἱ δέ· ʻΤῆς γῆς ὑμῶν ὑπὲρ Δαρείου.ʼ 3
ʻΟ δὲ Ἀλέξανδρος ἔφη· ʻΕἰ ταῦτα οἱ θεοὶ τοῖς ἀνθρώποις ἔδωκαν εἰς
διατροφήν, διὰ τί αὐτὸς τὴν τοῦ θεοῦ δωρεὰν ἐρανίζεται; οὐ δίκαιον.ʼ
Καὶ καλέσας τοὺς βαρβάρους εἶπε· ʻΠορεύεσθε καὶ εἴπατε Δαρείῳ· ὅτε
μόνος ἦν Φίλιππος, φόρους σοι ἐχορήγει· ὅτε δὲ ἐγένετο αὐτῷ υἱὸς
Ἀλέξανδρος, οὐκέτι δίδωσιν, ἀλλὰ καὶ οὓς ἔλαβες παρ' αὐτοῦ, ἐγὼ πρός
σε παρὼν λήψομαι καὶ παρὰ σοῦ ⟨ἀπαιτήσω⟩.ʼ Οὕτως εἰπὼν ἀπέπεμψε 4
τοὺς φορολόγους μηδὲ γραμμάτων ἀξιώσας τὸν ἀποστείλαντα αὐτοὺς βασιλέα.

Ἔχαιρε μὲν ὁ Φίλιππος ὁρῶν τοιοῦτον τὸν Ἀλέξανδρον. καὶ δὴ ἑτέρας 5
πόλεως ἀτακτησάσης πέμπει αὐτὸν ἐκεῖ πολεμῆσαι· ὁ δὲ παραγενόμενος λόγῳ ἔπεισεν αὐτοὺς ὑπηκόους εἶναι, τῇ τῶν ὅπλων δυνάμει ἀποταξαμένους. καὶ λαβὼν παρ' αὐτῶν φόρους ἀνέστρεψεν.

Ἦν δέ τις Παυσανίας ὀνόματι, μέγας ἀνὴρ ⟨καὶ⟩ πλούσιος Θεσσα- 24
λονικεύς, πλείστην δύναμιν καὶ μεγάλην περὶ ἑαυτὸν ἔχων. οὗτος ἠράσθη
Ὀλυμπιάδος καὶ πέμπει τοὺς δυναμένους αὐτὴν πεῖσαι, ὅπως καταλείψασα
τὸν Φίλιππον αὐτῷ γαμηθῇ. οὐ κατένευσεν ἡ Ὀλυμπιὰς ἐν τούτῳ. ἐπι- 2
βουλίαν οὖν μελετᾷ ὁ Παυσανίας πυνθανόμενος περὶ τοῦ Ἀλεξάνδρου, εἰ
ἄρα εὕροι αὐτόν ποτε ἀποδημοῦντα. καὶ δὴ χρόνου ἐμπεσόντος καὶ ἐπὶ
πόλεμον ὄντος τοῦ Ἀλεξάνδρου εἴς τινας πόλεις καὶ ἀγώνων ἐπιτελουμένων
θυμελικῶν, μαθὼν ὁ Παυσανίας τὸν Ἀλέξανδρον ἀποδημοῦντα καὶ τὸν
Φίλιππον ὄντα ἐν ταῖς θεωρίαις ἐπέρχεται ξιφήρης καὶ βάλλει τὴν λόγχην
κατὰ τοῦ Φιλίππου καὶ ηὐστόχησε κατὰ τῆς πλευρᾶς πλῆξαι· οὐκ ἀνηρέθη
δὲ παραυτά. γίνεται οὖν θροῦς οὐκ ὀλίγος ἐν τῇ πόλει· ὁ δὲ Παυσανίας 3
ἔσπευσεν εἰσελθεῖν εἰς τὰ βασίλεια ἔτι ζῶντος τοῦ Φιλίππου, βουλόμενος
ἁρπάσαι τὴν Ὀλυμπιάδα. καὶ δὴ εἰσῆλθεν ἔτι ἐμπνέοντος τοῦ Φιλίππου
ἐσχάτῳ πνεύματι καὶ ὀδυνωμένου μᾶλλον ὑπὲρ τὴν ὀδύνην ἧς εἶχε πληγῆς,
ἅμα δὲ οἰμώζοντος καὶ στένοντος, ὅτι ἔτι ζῶντος αὐτοῦ ἡ τούτου γυνὴ

1 ὑμῶν ⟨καὶ ὕδατος⟩ Val. Syr. ὑπὲρ Δαρείου ad aliam quaestionem respondisse vid.; cf. Byz. 3 τῶν θεῶν B′ Byz. Arm. νοσφίζεται B′ possis δίκαιον ⟨ὄν⟩; ἀδίκως Byz. οὐ δίκαιόν ἐστι Φίλιππον . . . τοῖς βαρβάροις φόρους παρέχειν· οὐ γὰρ ὁ θέλων τοὺς Ἕλληνας εἰς δουλείαν ὑποτάσσει B′ (cf. Arm. Syr. Val.) 7 suppl. cl. Arm., nisi forte praestat [καὶ] παρὰ σοῦ 8 μηδὲ B′: μετὰ A αὐτοῖς A 9 possis μέντοι aut δὲ (sic B′) ὁρῶν τοιαῦτα τολμῶντα B′ Arm. Persas clam Alexandri imaginem pingendam curantes faciunt B′ Syr. (cf. II 15. III 22) Thracum urbem dicunt B′ Arm. *rebellata est Armenia* Leo Syr. 10 ὁ δὲ — 12 ἀνέστρεψεν solus A (cf. p. 22, 17 sq.) 11 ἀποταξάμενος A 12 αὐτοὺς A 14 an μεγ. περιουσίαν? (ἀλκὴν add. Rad.) 19 πρὸς τὴν πόλιν τὴν προρρηθεῖσαν τῶν Θρᾳκῶν Byz. (cf. ad v. 9) 20 *certamenque thymelae tunc agi a Philippo praesidente* Val. cf. Arm. B′ 21 ξιφ. μετὰ ἄλλων γενναίων ἀνδρῶν Arm. cett. 22 ἠστόχησεν A no nopus πλήξας 23 ἐν τῷ θεάτρῳ B′ Arm. Val. 26 ὀδυνομένωι A 26—24, 10 habet unus A 27 οἰμόζων καὶ σθένων A voluitne ἤ του γυνή?

εἰς ἕτερον ἄνδρα ἐνυμφεύετο μετὰ πολλῆς τῆς βίας. ἅμα δὲ καὶ ἐπεθύμει 4
τὸν Ἀλέξανδρον ἰδεῖν ἐν πολλῷ χρόνῳ ἐκδημήσαντα, μεμνημένος αὐτοῦ καὶ
τῆς ἀγχινοίας καὶ τῆς ἐν αὐτῷ ἀνδρείας, λέγων τοῖς μετ᾽ αὐτοῦ, ὅτι ʽτοῦ
Ἀλεξάνδρου παρόντος οὐκ ἐπεχείρησεν ἂν ἐχθρὸς κατὰ τοῦ πατρὸς καὶ
τῆς μητρὸς αὐτοῦ τι ποιῆσαι. εἰ δὲ καὶ ἐπεχείρησεν ἀπὸ κακῆς γενέσεως
παρελασθείς, ἐτελεύτα. νῦν δὲ μετὰ πολλῆς ὀδύνης καὶ ἀθυμίας πλείστης 5
τὰ ἔσχατα τοῦ βίου ὁμιλῶ. ὑμῖν δὲ λέγω· ἐλθόντος τοῦ υἱοῦ μου Ἀλε-
ξάνδρου εἴπατε αὐτῷ, ὅτι ὁ πατήρ σου Φίλιππος ἀξιοῖ ἐκδικηθῆναι διὰ
τῆς ἐμβριθοῦς σου χειρὸς τόν τε αὐτοῦ θάνατον καὶ τὴν Ὀλυμπιάδος τῆς
μητρός σου ἁρπαγήν.᾽

Αὐτῇ δὲ τῇ ἡμέρᾳ εἰσήρχετο νενικηκὼς † ἀμφοῖν ὁ Ἀλέξανδρος, καὶ 6
ἰδὼν μεγάλην ταραχὴν ἐξετάζει, τί τὸ αἴτιον, καὶ μανθάνει τὸ γεγενημένον,
ὅτι ὁ Παυσανίας ἔσω ἦν ἐν τοῖς βασιλείοις. εἰσέρχεται δὲ μετὰ τῶν
παρασπιστῶν καὶ ὁρᾷ τὸν Παυσανίαν μεσολελαβηκότα τὴν Ὀλυμπιάδα.
κρατῶν δὲ τὴν διβολίδα ἐβούλετο κατ᾽ αὐτοῦ ἐκκοντίζειν, ἀλλ᾽ ἐδεδοίκει, 7
μὴ ἄρα συναναιρεθῇ ἡ Ὀλυμπιάς. μαθὼν οὖν περὶ τοῦ πατρός, ὅτι ἔτι
ζῇ, προσαγαγὼν αὐτῷ τὸν Παυσανίαν ἔφη· ʽʽἭκω πάτερ ἀμειβόμενος τοὺς
ἐχθρούς σου. ζῆθι βασιλεῦ, ἀθάνατόν σοι ἐστὶ τὸ ὄνομα· βλέπε τὸν ἐχ-
θρὸν Παυσανίαν δεδεμένον παρεστῶτά σοι καὶ τρομάζοντα.᾽ Βλέψας δὲ 8
εἰς αὐτὸν ὁ Φίλιππος καὶ μηκέτι δυνάμενος λέγειν διὰ τὴν τοῦ αἵματος
ἔκχυσιν καὶ τὴν ἀτονίαν περιλαβόμενος αὐτὸν ⟨καὶ⟩ καταφιλήσας ἔνευσε
ξίφος αὐτῷ δοθῆναι. δεδωκότος δὲ αὐτῷ τοῦ Ἀλεξάνδρου ποιεῖ τῷ Παυσανίᾳ
καιρίαν ταῖς ἰδίαις χερσὶ πληγὴν καὶ ἀναιρεῖ αὐτὸν παραυτά. προαποστείλας 9
τὸν ἐχθρόν, θᾶττον ἑαυτὸν ἀναρρώσας ὁ Φίλιππος διὰ τὴν παρουσίαν
Ἀλεξάνδρου καὶ τὴν ἐν τάχει ἐκδίκησιν εἶπε· ʽΤέκνον Ἀλέξανδρε, σὲ δέ-
δοκται κοσμοκράτορα εἶναι· μνημόνευε τοῦ πατρός σου Φιλίππου καὶ μὴ
ἀπάρνησαί με πατέρα σου καλεῖν· ἐμοῦ γὰρ τὸ πεπρωμένον πεπλήρωται.᾽
Ταῦτα εἰπὼν ἐξέλιπε τὸ πνεῦμα. Θρηνῶν δὲ αὐτὸν Ἀλέξανδρος εἶπε· 10
ʽΠάτερ βασιλεῦ βασιλέων Φίλιππε, ἐν τῇ ζωῇ σου οὐδεὶς καταφρονήσας
σου ἐχάρη· ὑπ᾽ ἀδεξιοβολίας παραπαίσας ὁ βραχίων σου ἀποτυχὴς Παυσανίου

3 ὅτι τὲ τοῦ A 9 ἐμβριθείας A (nolui ἐμβρ. ⟨τῆς⟩) ὀλυμπιάδα A 11 an Ἀμφίπολιν? 15 κρατεῖ A διβολίδα etiam Byz. an ἀκοντίζειν? ἀλλ᾽ Byz.: καὶ A 16 post ἡ Ὀλ. add. Arm. εἶπε δὲ ἡ Ὀλ.· τόξευσον παιδίον τὴν λόγχην· ἐμοὶ γὰρ ὁ Ἄμμων βοηθεῖ (cf. Val. Byz.) 18 ἔσται A 20 δυναμένωι A 22 ξίφει αὐτὸν A 23 προσαποστείλας A adde vel καὶ vel δὲ vel οὖν 24 ἑαυτοῦ A 25 sic Phil. in Arm. (melius): τέκνον, οὐ λυποῦμαι ὅτι τετελεύτηκα· ἐξεδικήθην γὰρ καὶ αὐτὸς ἀνεῖλον τὸν ἐχθρόν μου. καλῶς οὖν εἶπεν ὁ Ἄμμων τῇ μητρί σου· ἔχεις ἐν τῇ γαστρὶ ἄρρενα παῖδα, ὅς σε ἐγκαρπώσει καὶ τὸν θάνατον τοῦ πατρὸς ἐκδικήσει. Cf. B′ Val. Syr. (p. 9, 2) 27 τῶι πεπρωμένωι A 28 θρηνῶν — 25, 3 ἐπειπὼν solus A 30 ἐχάρην· ὑπὲρ ἀδεξιοβόλους παρασπισταῖς ὁ βραχίων σου ἀποτυχίας πλουσίου γέγονεν A

γέγονε. πῶς ἀπώλετο τρωθεὶς κοσμοκράτωρ; ὁ Κύκλωψ Παυσανίας εἰς
θεούς σε πρὸ μοίρας παρέπεμψεν, ᾧ καὶ ἡ δίκη παραυτὰ τὸν ἴδιον μισθὸν
ἀποδέδωκε.' Καὶ τοῦτον ⟨τὸν⟩ θρῆνον ἐπειπών, κοσμήσας αὐτῷ τάφον 11
πολυτελῆ κατέθετο τὸ σκήνωμα αὐτοῦ, ἐπ' αὐτῷ τῷ τάφῳ καθιδρύσας
ναόν. τῆς οὖν Ὀλυμπιάδος συμφοραζούσης ἐπὶ τῷ συμβεβηκότι καὶ τῶν
Μακεδόνων ἀτάκτως ἐχόντων παρεμυθεῖτο αὐτοὺς ἡ Ἀλεξάνδρου παρουσία.
Καὶ δὴ μεθ' ἡμέρας εἰς εὐστάθειαν αὐτῶν ἐλθόντων ἐνήλλετο ὁ 25
Ἀλέξανδρος εἰς τὸν τοῦ πατρὸς ἀνδριάντα καὶ ἐβόησε φωνῇ μεγάλῃ λέγων·
'Ὦ παῖδες Πελλαίων καὶ Ἀμφικτυόνων καὶ Θετταλῶν καὶ Λακεδαιμονίων
καὶ τῶν ἄλλων Ἑλλαδικῶν ἐθνῶν, προσέρχεσθέ μοι Ἀλεξάνδρῳ ἑαυτοὺς
ἐμπιστεύσαντες· ἐπιστρατεύσωμεν τοῖς βαρβάροις.' Οὕτως εἰπὼν διάταγμα 2
κατὰ πόλιν προτίθησιν· οἱ δὲ βουλόμενοι τῶν νέων παραγίνονται εἰς τὴν
Μακεδονίαν αὐθαίρετοι, ὡς ὑπὸ θεοπνεύστου φωνῆς μετακληθέντες. ὁ δὲ
Ἀλέξανδρος τὴν τοῦ πατρὸς ὁπλοθήκην ἀνοίξας μεταδέδωκε τοῖς νέοις
τὴν πανοπλίαν. ἤγαγε δὲ καὶ τοὺς παρασπιστὰς τοῦ Φιλίππου γηραιοὺς 3
ὄντας, οἵτινες εἶπον πρὸς αὐτόν· 'Ἡμεῖς προέβημεν τῇ ἡλικίᾳ συστρα-
τευσάμενοι τῷ πατρί σου καὶ οὐκέτι ἐστὶν ἡμῖν σθεναρὸν τὸ σῶμα· διὸ
παραιτούμεθα τὴν ἐπί σοι στρατείαν.' Ὁ δὲ Ἀλέξανδρος εἶπεν· 'Ἔτι 4
μᾶλλον ὑμᾶς στρατεύσω, εἰ καὶ γηραιοὶ τυγχάνετε· πολὺ γὰρ τὸ γῆρας τῆς
νεότητος ἔφυ ἰσχυρότερον. ἡ γὰρ νέα ἡλικία πολλάκις πεποιθυῖα τῇ τοῦ
σώματος δυνάμει ἐκτραπεῖσα εἰς ἀβουλίαν κακῶς . . . ὁ δὲ πρεσβύτης πρό-
τερον λογισάμενος † τί ὁρμᾷ καθυστερῆσαι τῇ γνώμῃ μεταλλαγῆναι τοῦ
κινδύνου. ὑμεῖς οὖν συστρατεύσασθε ἡμῖν οὐχ ὡς ἀντιτασσόμενοι τοῖς 5
πολεμίοις, ἀλλ' ὡς θαρσύνοντες τοὺς νέους γενναίως μάχεσθαι. αὕτη γὰρ
ἀμφοτέρων βοήθεια. . . . συνεπισχύσατε ταῖς φρεσὶ γιγνώσκοντες, ὅτι καὶ

1 Cyclops dicitur ob concupiscentiam; cf. Myth. Lex. III 2700 sqq. 3 sic Arm. (sim. cett.) ὁ δὲ Φίλιππος ἐτάφη βασιλικῶς, καὶ αὐτὸν αἴρουσα (θρηνοῦσα Byz.) θάπτει ἡ Ὀλ. καὶ ὅλη ἡ Μακεδονία συμπαθὴς γενομένη ὠδύροντο αὐτόν (συμπενθούσης Byz.) αὐτὸν A 7 αὐτῶι A ἐν ἄλλετο A 9 παραλλέων A, corr. ex B′ Πελλ. καὶ Μακεδόνων, Θεττ. καὶ Θρᾳκῶν, Ἑλλήνων καὶ Ἀμφ., Λακ. καὶ Κορινθίων καὶ τῶν ἄλλων κτλ. Arm. (sim. cett.) 11 add. Arm. (sim. cett.) καὶ ἑαυτοὺς ἐλευθερώσομεν τῆς τῶν Περσῶν δουλείας, ἵνα μὴ Ἕλληνες τοῖς Πέρσαις δουλεύσωμεν 12 προστίθησιν A 13 αὐθετεροι A φ. μεγάλης κληθέντες A, corr. ex B′ 14 νέοις: δεομένοις Ausf. cl. Val. Leone 15 συνήγαγε Müll. παρασπιστοὺς A 18 σοῦ B′ 20 ἐφησχυρότερον A 21 εἰς ἃ βούλεται A, corr. ex B′ εἰς ἀβ. ἔρχεται (ἕλκεται L) καὶ ἐξάπινα (κάκιστα Arm.) κινδυνεύει B′ 22 possis λογ. τῇ γνώμῃ καὶ καθυστερήσας τῇ ὁρμῇ ἀπηλλάγη. Cf. Arm.: πρότερον λογ. ἐφ' ὃ ὁρμᾷ ὑπερενίκησε τῇ γν. ἀπαλλαγεὶς τοῦ κινδύνου. B′: πρότ. λογ. ἐπὶ τὸ ὁρμᾶν καθυστερεῖ τῇ γνώμῃ μεταλλαγῆναι τ. κ. 23 τοὺς πολέμους A 24 θαρροῦντες τοῖς νέοις A προτρεπόμενοι τοὺς ν. B′ προτρέποντες τοῖς ν. Byz. fuit fere ⟨ἡ ἀπ'⟩ ἀμφ. β. ⟨ὥστε ὑμεῖς τοὺς νέους⟩. Plane corrupta haec in B′, lacera in plerisque 25 ἐπισχύσατε ταῖς φρ. ὑμῶν τὸ στρατόπεδον Arm. B′

ὑμῶν ἐστι σωτηρία τὸ ὑπὲρ τῆς πόλεως νικῆσαι. ἡττηθέντων γὰρ αὐτῶν
οἱ πολέμιοι ἐπὶ τὴν ἄπρακτον ἡλικίαν ἐλεύσονται, νικησάντων δὲ τὸ νικᾶν
ἐπὶ τὴν τῶν συμβουλευτῶν γνώμην ἀνατρέχει.' Οὕτως εἰπὼν Ἀλέξανδρος 6
ἔπεισε καὶ τοὺς ὑπεργήρως αὐτῷ ἀκολουθεῖν.

Ὁ δὲ συναγαγὼν τὴν προτέραν τοῦ Φιλίππου στρατείαν ἠρίθμησε 26
καὶ εὗρε Μακεδόνας πεζοὺς μὲν ͵οβ' καὶ συμμάχους.., ἱππέας δὲ Μακε-
δόνας δισχιλίους, Θρᾷκας καὶ Παφλαγόνας καὶ Σκύθας οἷς ἐχρήσατο προ-
δρόμοις ὀκτακοσίους. συναριθμήσας δὲ καὶ τοὺς παρόντας σὺν οἷς πα- 2
ρειλήφει εὗρεν ͵οζ' καὶ ͵δχ'. καὶ τούτους καθοπλίσας μεθ' ὧν εἶχεν ἀπὸ τοῦ
πατρὸς στρατιωτῶν λαμβάνει παρὰ τῶν τῆς Μακεδονίας ⟨θησαυρῶν⟩
χρυσοῦ νενομισμένου τάλαντα ο'. καὶ ναυπηγήσας τριήρεις, ἔτι δὲ λίβερνα, 3
διαπεράσας ἀπὸ Μακεδονίας διὰ τοῦ Θερμώδοντος ποταμοῦ εἰς τὴν ὑπερ-
κειμένην Θρᾴκην ὑπήκοον φύσει τυγχάνουσαν διὰ τὴν τοῦ πατρὸς Φιλίππου
δύναμιν, ἐκεῖθεν παραλαβὼν ἀργυρίου αἱρετοὺς καὶ ἀργυρίου τάλαντα φ' ᾤχετο
ἐπὶ Λυκαονίαν. καὶ συνθύσας τοῖς ἐκεῖ στρατηγοῖς διεπέρασεν ἐπὶ Σικελίαν 4
καὶ τινὰς ἀπειθήσαντας αὐτῷ ὑποτάξας διαπορθμεύεται ⟨εἰς⟩ τὴν Ἰταλίαν
χώραν. οἱ δὲ τῶν Ῥωμαίων στρατηγοὶ πέμπουσι διὰ Μάρκου Αἰμιλίου 5
στρατηγοῦ τὸν τοῦ Καπιτωλίου Διὸς στέφανον πεπλεγμένον διὰ μαργα-
ριτῶν λέγοντες· 'Προσεπιστεφανοῦμέν σε κατ' ἔτος Ἀλέξανδρε χρυσοῦν
στέφανον ὁλκῆς λιτρῶν ρ''. Ὁ δὲ παραδεξάμενος αὐτῶν τὴν εὐπείθειαν 6

1 τὴν πο(λιν) A τῆς πατρίδος B' γὰρ B': δὲ A 2 ἄπρακτον dedi: ἄτακτον A ἄχρηστον B' τῶι νικᾶν A (victoriae meritum vestrae prudentiae attribuetur, cf. Val.) 4 ὑπὲρ γῆρας A 5 ὁ δὲ non aptum: B' pauca hic inserit στρατείαν et στρατιάν dudum non discernebant 6 οβ· οἱ καὶ ut vid. A: μυριάδας δύο ἥμισυ B' Arm. *quinque et decem milia* Val. *auxiliaque diversa in octo milibus* Val. VII milia si reponas (cl. Diod. XVII 17, 3), universa numerorum ratio constabit, prodromis septingentis loco octingentorum repositis 7 ͵β' A: δισχιλίους καὶ ἑπτακοσίους Arm. Val. ὤρακας A ἐχαρίσατο A, corr. e B' 8 ϖ A Arm. Val. καὶ A: πάντας B' 9 74600 Arm. 70654 Val. 270000 Syr. denuo rationem ineunt B' Arm. LXXVII milia ut vid. ab ipso conscripti, ceteri veterani. Hinc deflectit B' solus tradens c. 27 sq. μεθ' ὧν — στρατιωτῶν inepte repetita (etiam Arm.) 10 παρὰ τὸν A *a Philippi thesauris* Val. 11 χ νν (ρ οο) τάλαντα ο A (item Aristobulus) *sexaginta* Val. μυριάδας πέντε B' 41860 Arm. ἔτει τὲ κυβερνᾶι A λίβερνα Byz. λιβέρνους B' (Arm.); neutrum agnoscunt Hesych. Zosim. V 20, 3 12 θερμόδοντος A solus (cf. tamen Syr.); *Magon* fluvium dicit Arm. Θερμαίου πόντου Ausf. frustra εἰς Müll.: καὶ A 13 ὑπήκοος φ. τυγχάνουσα A 14 αἱρετοὺς Ausf. (cl. Byz. 1187 Arm. *lectissimos quosque* Val.): αὐτοὺς A ἐπιλέκτους πεντακισχιλίους B' φ' A Arm. B': *quadringenta* Val. B' hic de rebus in Asia gestis aliunde hausta interponit 15 Λευκανίαν Ausf. (cf. ad v. 12) *Lycaoniam, cui nunc aetas recens nomen Lucaniae dedit* Val. hinc usque ad p. 27, 3 cum A' facit Byz. συνθήσας A, corr. ex Arm. Val. 16 ἰδία πορθμ. A 18 ἐκ χρυσοῦ καὶ μαργαριτῶν κατεσκευασμένον Arm. (cf. Val. Syr.) 19 καθέτος A χρυσὸν A 20 ὁλκισιάτρων ρ A πεντακοσίας B'

ἐπηγγείλατο αὐτοὺς μεγάλους ποιήσειν. λαμβάνει δὲ παρ' αὐτῶν στρα-
τιώτας χιλίους καὶ τάλαντα τετρακόσια· ἔλεγον δὲ καὶ πλείονας αὐτῷ
δώσειν στρατιώτας, εἰ μὴ τὸν πόλεμον συνῆπτον Καρχηδονίοις.

Κἀκεῖθεν ἀναβὰς καὶ διαπεράσας τὸ μεταξὺ πέλαγος παρεγένετο εἰς 30
Ἀφρικήν· οἱ δὲ τῶν Ἄφρων στρατηγοὶ ἀπαντήσαντες ἱκέτευσαν αὐτὸν
ἀποστῆσαι Ῥωμαίους τῆς πόλεως. ὁ δὲ τῆς ἀδρανείας αὐτῶν καταγνοὺς
εἶπεν· 'Ἢ κρείττονες γίνεσθε ἢ τοῖς κρείττοσι φόρους τελεῖτε.' Κἀκεῖθεν 2
ἀναζεύξας μετ' ὀλίγων στρατιωτῶν πᾶσαν τὴν Λιβύην ὑπερθέμενος εἰς
Ἄμμωνα παραγίνεται . . . ἐμβαλόμενος εἰς τὰς νῆας κελεύει αὐτοῖς πλεῖν
καὶ περιμένειν αὐτὸν εἰς τὴν Φαρίτιδα νῆσον. αὐτὸς δὲ προσκυνήσας 3
τὸν Ἄμμωνα καὶ θύσας αὐτῷ ὑπομνησθεὶς τῆς ⟨μητρὸς λεγούσης⟩, ὡς ἐξ
Ἄμμωνος ἐγεννήθη, καὶ εὐξάμενος εἶπε· 'Πάτερ, εἰ ἀληθεύει ⟨ἡ⟩ μήτηρ
ἐκ σοῦ με γεγεννῆσθαι, χρησμῴδησόν μοι.' Καὶ εἰπὼν ταῦτα τὴν ἡμέραν 4
ἐμετεώρισεν· ἐκοιμήθη δὲ καὶ εἶδε κατὰ τοὺς ὕπνους ⟨τὸν Ἄμμωνα⟩ τῇ
Ὀλυμπιάδι περιπεπλεγμένον. ἀνίσταται οὖν τῶν ὕπνων καὶ μαθὼν τὴν
τοῦ θεοῦ ἐνέργειαν κατασκευάζει τὸ τέμενος † ἐκ τῆς ἑαυτοῦ ἐπιγραφῆς·
'Πατρὶ θεῷ Ἄμμωνι Ἀλέξανδρος ἔθηκεν.' Ἠξίου δὲ καὶ χρησμὸν λαβεῖν 5
ἀπὸ τοῦ θεοῦ, ποῦ τῆς ὀνομασίας ἑαυτοῦ ἀείμνηστον πόλιν κτίσει· καὶ
ὁρᾷ κατὰ τοὺς ὕπνους τὸν θεὸν αὐτῷ λέγοντα·

'⟨Ὦ⟩ βασιλεῦ, σοὶ Φοῖβος ὁ μηλόκερως ἀγορεύω· 6
εἴγε θέλεις αἰῶσιν ἀγηράτοισι νεάζειν,
κτίζε πόλιν περίφημον ὑπὲρ Πρωτηίδα νῆσον,
ἧς προκάθητ' ⟨Αἰὼν⟩ Πλουτώνιος αὐτὸς ἀνάσσων
⟨πενταλόφοις κορυφαῖσιν ἀτέρμονα κόσμον ἑλίσσων.⟩'

1 μεγάλας A αὐτὸν A 2 δισχιλίους B' Val. 3 χαλκηδονίοις A Leo 5 *Afri* sunt latine, graece Λίβυες 6 ἀποστῆναι ῥωμαίον A 7 τοὺς κρείττονας A 8 *ad Ammona* Val. εἰς τὴν Ἀμμωνιακὴν vel τὸ Ἀμμωνιακὸν B' debebat εἰς Ἄμμωνος supple fere καὶ τοὺς πλείστους τῶν στρατιωτῶν, cf. B' Arm. Val. Syr. 10 nempe αὐτοὺς *Faranitidam* Leo *Pharum* Val. Φάριτις Arm. Πρωτηίδα B' Syr. 11 τῆς: τίς A suppl. Ausf. ex Arm. (Byz. Syr.) de Ammone patre cf. Deimann 16 13 ἐκ σοῦ B': εὔξαι A εἶπεν A τὴν ⟨μὲν⟩ ἡμ. ἐμ., ⟨τὴν δὲ νύκτα⟩ ἐκοιμ. (sc. in templo) Müll. (haec in uno A) 14 ἐκοιμήθην A suppl. ex B' cett. 15 περιπεπλεγμένωι A add. B' (cf. Syr.) καὶ λέγοντα αὐτῷ· τέκνον Ἀλέξανδρε, ἐμῆς σπορᾶς πέφυκας 16 ἐπισκευάζει B recte inscriptionem ad signum aureum refert B' (cf. Byz.) κοσμεῖ τὸ τέμενος τῇ ἑαυτοῦ ἐπιγραφῇ Arm. (Syr.) 17 πατρὶ· ὦι θεῶι A 18 κτίσαι A 20 versus redeunt infra p. 33, 12 σοὶ Φοῖβος: ὕφηβος A μηλόκερως: *lunatis cornibus* (= μηνόκερως) Val. 21 θελήσεως· ἵνα γηρατοῖς νεάζει A 22 πρώτη ἠδᾶν νῆσον A 23 Αἰὼν ex B' (cf. Gött. Nachr. 1904, 317. Arch. f. Rel. 19, 189) πλουτίνιος A ἀναρσέων A 24 suppl. e p. 33, 16 *vertice quinqueiugo rerum secreta gubernans* Val. cf. Arm. Cf. Mos. Choren. II 169 Vaill.

Τοῦτον λαβὼν τὸν χρησμὸν ὁ Ἀλέξανδρος ἀνεζήτει τὴν Πρωτέως νῆσον τίς τέ 7
ἐστιν ὁ προκαθημένος αὐτῆς θεός . . . θύσας τῷ πατρὶ Ἄμμωνι τὴν ὁδοι-
πορίαν ἐποιεῖτο καὶ ἔν τινι κώμῃ τῆς Λιβύης ⟨τὰ⟩ στρατεύματα ἀνέπαυσεν.
Καὶ δὴ περιπατοῦντος αὐτοῦ ἔλαφος μεγίστη εἴς τινα φωλεὸν ἐνέ- 31
μετο· φωνήσας δὲ τοξότῃ ἐκέλευσε τὸ ζῷον τοξεύειν. ὁ δὲ ὀκνηρότερον
τείνας τὸ τόξον καὶ τὸ βέλος τινάξας εἰς † ἄχος ἀφῆκε παρ' αὐτῷ τῆς
θηρὸς μὴ εὐστοχήσας. καὶ εἶπεν ὁ Ἀλέξανδρος· "Ἄνθρωπε παράτονόν
σοι ἐγένετο." Ὅθεν ἐκλήθη ὁ τόπος ἐκεῖνος Παρατόνιον διὰ τὴν τοῦ
Ἀλεξάνδρου ἐκβόησιν.

Ἐκεῖθεν ὁδεύσας εἰς Ταφώσιριν ἦλθε καὶ πυνθάνεται τῶν ἐγχωρίων 2
τάφον Ὀσίρεως εἶναι τὸ ἱερόν. θύσας τε τῷ θεῷ τὸ ἐφεξῆς ἐποιεῖτο τῆς
ὁδοιπορίας. παραγενάμενος δὲ ἐπὶ τούτου τοῦ ἐδάφους ὁρᾷ μέγιστον
χώρημα εἰς ἄπειρον ἐκτεῖνον καὶ ⟨ις'⟩ κώμαις συνεχόμενον. ἦσαν δὲ
αὗται· † Στειράμφεις, Φανέντι καὶ Εὔδημος, Ἀκάμης, Εὔπυρος, Ῥακῶτις,
Ἡγιῶσα, Ὑπόνης, Κραμβεῖται, Κραπαθεῖς καὶ Λυϊδίας, Πάσης, Τέρεσις τῷ
Νεφέλῃ τε Μηνυῖα τε, Πέλασος †. ἡ δὲ Ῥακῶτις ἦν ἐπίσημος· ἐτύγχανε
γὰρ μητρόπολις οὖσα. αἱ δὲ ις' κῶμαι εἶχον ποταμοὺς ιβ' ἐξερευγομένους 3

1 ποίαν νῆσον δηλοῖ τὴν Πρωτηίδα B' Arm. τέ: δέ A B' 2 αὐτῆι A supple fere πάλιν οὖν (ὡς δὲ ἀνεζήτει B' Arm. *quae etiam tunc animo volutans* Val.) 3 τῆς: εἰς A 4 nempe εἰς τὸν ἀσφοδελὸν ἔδυσε B' (cf. Arm.) *pastui occupatam* Val. 5 τὲ A τοξότην B' neque ὀκνηρότερον neque τινάξας aptum, quae in solo A 6 displicent ἄλσος et [εἰς] ἄλλως; etiam παρ' αὐτῷ corruptum (languet παραυτά); ἀστόχως Rad. 7 παρατώνιον A verum nomen Παραιτόνιον 11 τάφον Ὀσίρεως: ταφωσίρεως A θύσας: φθάσας L τὸ ἐφεξῆς Müll.: τὴν ἄφιξιν A B' 12 τούτου (om. B') auctorem prodit Alexandrinum. De seqq. cf. Ausfeld Rh. M. LV 348 sqq. ὁρᾷ B': ὠῖ A 13 ις' Val.: ιβ' B' Arm. Byz. ιε' Leo Syr. (cf. ad p. 31, 12) κῶμα συνεχόμενος A, exp. κατεχ. (συνεχ- etiam B' Byz.) ἦσαν δὲ — 29, 12 ἀπὸ om. B' 14 αὐτὰς A nomina (quae sunt etiam in Arm. Byz. Syr. [in hoc prorsus mutata]) foede currupta restitui nequeunt Στεράφιος Byz. Στέραμφις Arm. Φανέτη Byz. Φρονήτητες Arm. Ἔδμητος Byz. Arm. Ἀκόνις Arm. om. Byz. Εὔπυργος Byz. Ἐπιοῦργος Arm. ταρακώτης A Ῥακώτη Byz. Τετρακῶτις Arm. 15 Ἡδιόδεσσα Byz. Ἔδιος vel Ἥγιος Arm. Ἄπαυνις vel Ἀπώνης Arm. σὺν Ἐπαίνῃ Byz. κραμβεῖτε A Κραμβῖτις Byz. Σκάμβετες Arm. Κραπαθεῖς — Τέρεσις om. Arm. Byz. (hic tamen in fine Θουργίτη) 16 Νεφελῖτις Byz. (Arm.) Μηνῖτις Byz. Μέμνης Τίατες Arm. Πελασσός Byz. ἐπισημοτέρα τῶν ἄλλων Arm. 17 post οὖσα add. Syr.: *und als es Al. sah, ergriff ihn Verwunderung über das Gewässer, das rings um die Dörfer herumfloß, und er erstaunte über die vielen Wellen, wie wunderbar sie waren, sofern sie sich mit dem Meere, auch wenn sie hineinflossen, nicht vermischten. Er fand aber dort einen Ort, den sie Melaa nannten, und seine Wasser flossen eine Elle tief ins Meer hinein und bewirkten eine große Flutwelle. Da fragte Al., was das für ein Ort wäre und wer ihn erbaut habe, und sie sprachen zu ihm: 'Zuerst Dios, derselbe den man Zeus nennt, und dann Irtaos.'* In his antiqua utcunque latere possunt. ἐξερευομένους A

εἰς τὴν θάλασσαν· καὶ μέχρι νῦν αἱ διεκδρομαὶ ἀναπεφραγμέναι εἰσίν . .
ἐχώσθησαν οἱ ποταμοὶ καὶ ἀγυιαὶ τῆς πόλεως καὶ πλατεῖαι ἐγενήθησαν.
δύο δὲ μόνοι διέμειναν, οἳ καὶ ἀπορρέουσιν εἰς τὴν θάλατταν . . . ἐπικα- 4
λούμενοι Ῥακωτίτης ποταμός, ὃς νῦν δρόμος τοῦ μεγάλου θεοῦ Σαράπιδος
τυγχάνει· εἶτα διῶρυξ τῆς ἀγοραίου πλατείας· καὶ μέγιστος ποταμὸς
⟨ὁ⟩ καλούμενος † Ξυλέρῳ νῦν Ἀσπενδία τυγχάνουσα· εἶτα διῶρυξ, οὗ τὸ
Τυχαῖον· καὶ μέγιστος ποταμὸς ⟨Κοπρωνικός· καὶ διῶρυξ μεγάλη καὶ
ποταμὸς⟩ Νεφερώτης † τὰ νῦν ἐκθέματα, οὗ ἐστι καὶ Ἴσιδος τῆς Νεφερῶν
⟨ἱερὸν⟩ πρωτόκτιστον Ἀλεξανδρείας· καὶ μέγιστος πάντων ⟨τῶν⟩ ποτα-
μῶν Ἀργέος καλούμενος, οὗ ἐστιν Ἀργεῖον· ⟨εἶτα διῶρυξ Ἀρείου οὗ ἐστιν
Ἀρείου⟩ στῦλος· καὶ διῶρυξ κατὰ τὸν Κανωπικὸν ⟨ποταμὸν⟩ ἐκβάλλουσα
κατὰ τοῦ Ζεφυρίου· καὶ μέγιστος ποταμὸς ⟨τὸ Ἡράκλειον στόμα. ἀπὸ 5
γὰρ τῆς καλουμένης Πανδύσεως ἕως τοῦ⟩ Ἡρακλείου στόματος τὸ μῆκος
τῆς πόλεως ἐχωρογράφησε, τὸ δὲ πλάτος ἀπὸ τοῦ Μενδησίου ἕως τῆς
μικρᾶς Ἑρμουπόλεως. οὐ καλεῖται δὲ Ἑρμούπολις, ἀλλ' Ὁρμούπολις,

---

1 seqq. usque ad p. 34, 25 fere om. Leo πεφραγμ. Arm. *verstopft* Syr. turbavit Byz. Ostia fluminum aperta, ipsa contecta et in vias commutata (re vera non flumina erant, sed canales manu facti) 2 ἀγυιαὶ Byz. (cf. Arm.): αἰγὲ A καὶ αἱ πλατίαι A ἐγεννήθ. A 3 ἀπόρευσιν A anticam sententiam servavit Val. (cf. Syr.): *sed duo tantum ingressus fluminum reservati, ceteri nomina partibus oppidi praestiterunt.* Arm. nil nisi ἔστι δὲ ὁ μὲν Ῥακ. Duo illi sunt Draco et Agathodaemon. ἐπικάμενοι A, corr. Müll. ἐπικείμενοι δέ (i. e. contecti) Ausf. valde haec contraxit (usque ad 34, 9) Syr. 4 ῥακώτη τίς A ὅς: ὁ A 5 διορύζει τοῦ ἀγορίου πλατὴς A (διώρυγας Alexandrinas novit Schol. Bern. Lucani VIII 692). De fori situ cf. Noack Ath. Mitt. 25, 270 6 *Χουλέρας* Arm. om. Byz. χολέρα (v. l. -έδρα) = σωλὴν δι' οὗ τὸ ὕδωρ ἀπὸ τῶν κεράμων φέρεται ἐξακοντιζόμενον (Hesych.) subesse putat Ausf. Aspendiam testatur Athen. IV 174 d διόρυξ τῶι τυχέωι A, corr. ex Arm. Byz. Tychaeum novit Liban. IV 1113 7 suppl. Ausf. ex Arm., om. A Byz. *Koponiaju* (Καυπονικός) Arm., verum nomen incertum 8 νεφερῶ· τίς A *Nephrontaji* (Νεφρώτης) Arm. *Nuphirtir* Syr. Νεφελωτίτης Byz. Est cognomen Isidis (Myth. Lex. III 186 sq.) ἐκ θέματος σὺν τούτῳ Byz. *wo jetzt draußen Grabmäler sind* Arm. (qui σήματα intellexisse vid., cum locus dicatur, ubi edicta proponebantur; cf. Polyb. Syll.³ 1023, 60. Syll. or. 664, 4) ἴδιός τις νεφερῶν A *der Tempel der Isis Nephrotaji* Arm. Ἴσιον τὸ Νεφέρου Byz. 10 ἀργέου στύλος A (Ἀργέου insulam parvam prope Canobum novit Steph. B.) suppl. ex Arm. (*dann der Kanal des Ares*) et Byz., qui post Τυχεῖον: ὁ ποταμὸς νῦν ἕτερος Ἕρμαιος (Rh. M. 55, 371) οὗτος κλήσει, μεθ' ὃν διῶρυξ ἔνεστιν Ἀρείου φέρων στύλους. Areum Didymum recte intellegit Ausf. 11 ποταμὸν add. ex Arm. Byz. (qui Κανωτικός) 12 Zephyrium nunc est Abukīr suppl. ex Arm. Byz. (B', cf. ad p. 28, 13) 13 πανδύσεως B' Byz. (Lumbroso L'Egitto 125²) *Pandita* Arm. De dea ἐν Πανδοίτ(ει) cf. Myth. Lex. III 1520 Ἡρακλεωτικοῦ B' 14 μενδίου A Μενδιδείου Arm. Val. Βενδηλαίου fere B' Μηδίου Βασιλᾶ Byz. Cf. Ed. Meyer Myth. Lex. II 2771

ἐπειδὴ ὁ κατερχόμενος ἀπ' Αἰγύπτου ⟨καὶ ἀνερχόμενος⟩ ἐκεῖ ὁρμεῖ· ὅθεν
καὶ Ἀλεξανδρέων ⟨ἡ⟩ χώρα ἀναγράφεται. Συνεβούλευσε δὲ αὐτῷ Κλεομένης 6
ὁ Ναυκρατίτης ⟨καὶ Δεινοκράτης⟩ ὁ Ῥόδιος μὴ τηλικαύτην πόλιν κτίζειν
διὰ τὸ μὴ ἔχειν αὐτὴν πληρῶσαι ὄχλων· ἐὰν δὲ καὶ πληρωθῇ, οὐ δυνή-
σονται ⟨οἱ⟩ ἔμποροι τὴν χρείαν αὐτῇ παρασχεῖν τῶν ἐπιτηδείων πρὸς
τροφήν. πολεμήσουσι δὲ οἱ ἐν αὐτῇ τῇ πόλει κατοικοῦντες, ὡς τηλικαύτης
οὔσης καὶ ἀπείρου· αἱ γὰρ μικροπολιτεῖαι εὐσυμβούλευτοί εἰσι πρὸς ⟨τὸ⟩
τὰ συμφέροντα ποιεῖν, οἱ δὲ μέγιστοι δῆμοι ὡς ⟨ἐν⟩ τηλικαύτῃ πόλει
κατοικοῦντες ἄγνωστοι ἑαυτοῖς τυγχάνουσιν. εἴξας τοῖς ἀρχιτέκτοσιν ὁ 7
Ἀλέξανδρος ἐπέτρεψεν αὐτοῖς, οἷς βούλονται μέτροις τὴν πόλιν κτίζειν.
οἱ δὲ χωρογραφοῦσι τὸ μῆκος τῆς πόλεως ἀπὸ τοῦ Δράκοντος τοῦ κατὰ
τὴν Ταφοσιριακὴν ταινίαν μέχρι τοῦ Ἀγαθοδαίμονος τοῦ κατὰ τὸν Κάνωπον,
καὶ ἀπὸ τοῦ Μενδησίου ἕως τῆς Εὐρυλόχου καὶ Μελανθίου τὸ πλάτος.
καὶ κελεύει τοῖς κατοικοῦσι κωμαίοις μεταβαίνειν ἀπὸ λ' μιλίων τῆς πόλεως 8
ἔξω, χώρημα αὐτοῖς χαρισάμενος, προσαγορεύσας αὐτοὺς Ἀλεξανδρεῖς. ἦσαν
δὲ ἀρχέφοδοι τῶν κωμῶν τότε Εὐρύλοχος καὶ Μελάνθιος· ὅθεν καὶ ἡ
ὀνομασία ἔμεινεν.

Ἐσκέπτετο δὲ καὶ ἑτέρους ἀρχιτέκτονας τῆς πόλεως, ἐν οἷς Κλεομένην 9
Ναυκρατίτην καὶ Κρατερὸν Ὀλύνθιον καὶ Ἥρωνα ὀνόματι Λιβυκὸν τῷ γένει,
ὃς εἶχεν ἀδελφὸν ὀνόματι καλούμενον Ὑπόνομον. οὗτος συνεβούλευσεν

1 πᾶς ὁ B' Arm. suppl. ex B' (Arm.) ante ὅθεν cett. fere add.: μέχρις ἐκείνου τοῦ τόπου ἐχωρογράφησε τὴν πόλιν Ἀλέξανδρος; at ne sic quidem ὅθεν aptum (cf. v. 16) 2 ἀλεξανδρέου χωρίον A, corr. e B' Arm. ὅθεν Ἀλεξ-ανδρεία ἡ πόλις ὀνομάζεται Byz. Cf. e. g. Wilcken Chrestom. I 16 (etiam ipsa urbs vocatur ἡ Ἀλεξανδρέων [μεγάλη πόλις], cf. Justiniani edict. XIII). Sane Hermupolis est μητρόπολις pagi Alexandrinorum. κρεομένης A 3 *Dinocrates* Val. Δημοκράτης Arm., varie corruperunt cett. 4 αὐτὸν πλ. τὸν ὄχλον A, corr. e B' Byz. δέ: δὴ A 5 ἔμποροι A: ὑπηρέται B' ἤπειροι Arm. οἱ τὴν ξηρὰν οἰκοῦν-τες Byz. τὴν ἐπὶ χρεῖαν αὐτοῖς π. A, corr. e B' αὐτῇ om. B' Arm. 7 ἀπόρου A μικραὶ πόλεις εὐσύμβουλοι B' μικροπολῖται . . εὐσυμβούλευτοι Byz. 9 potius τυγχάνοντες ⟨διχοστατήσουσιν⟩, quod vocabulum in cett. εἴξας scripsi: εἶπεν A πεισθεὶς cett. 10 ἐπιστρέψατε A βούλεσθε A 11 Dracon fluvius (Lumbr. 127[4]) 12 τάφον σηριακὴν A ἀγαθοῦ δαίμονος A Val., corr. e B' Byz. (qui add. ποταμοῦ) κάνοπα A 13 μενδησίου A: βενδιδίου B' (Arm. Byz. ut p. 29, 14) τῆς A Arm.: τοῦ B' *usque ad locum qui Eurylochi vel Melanthium (-thi?) dicitur* Val.; similia dabit Wessely Denkschr. Wien 50, 29. Cf. Arch. f. Pap. V 39. 14 κατοικοῦντας κωμάνοις A (et possis τοὺς κ. κωμαίους) ἀπὸ Arm. (?) Müll.: πρὸ A B' Byz. μεταβῆναι τοὺς κατ. ἐν τοῖς τόποις τούτοις καὶ εἰς τὰς κώμας ἀπιέναι πρὸ fere B' (Arm. Byz.) 16 ἀρχέφοδοι v. g. Berl. Urk. 147, 1 18 ἐσκέπετο A ἑτέρου ἀρχιτέκτωνος A κρεομένην A Cleomenes hic abesse debebat 19 κραταιὸν A, corr. e Byz. Arm. Syr. καρτερός B' (*et*) *erat(h)eo* Val. Verum nomen Κράτης Heron Alexandrinus multo post fuit (Νουμήνιος B') λιβυκυένην ὃς A γέροντα add. Arm.

Ἀλεξάνδρῳ, πρὸ τοῦ ὀρύξαι τὴν πόλιν ἐκ θεμελίων, [καὶ] ὀχετηγοὺς
ποιῆσαι ἐξερεύγοντας εἰς τὴν θάλατταν. πεισθεὶς ὁ Ἀλέξανδρος ἐκέλευσε
γενέσθαι· ὅπερ οὐδεμία πόλις εἶχεν. καλοῦνται δὲ ὑπόνομοι διὰ τὸ ⟨τὸν⟩
ὑποδείξαντα Λιβυκὸν Ὑπόνομον καλεῖσθαι.

Οὐ μέντοιγε ἑτέρα πόλις ἐστὶ μείζων Ἀλεξανδρείας· πᾶσαι γὰρ 10
ἐχωρογραφήθησαν καὶ ἐμετρήθησαν. ἡ δὲ μεγίστη πόλις ἐν Συρίᾳ Ἀντιό-
χεια· αὕτη ἐστὶ σταδίων η′ καὶ ποδῶν οβ′· ἡ δὲ ἐν Ἀφρικῇ Καρχηδὼν
σταδίων ις′ ποδῶν βL′· ἡ δὲ ἐν τοῖς βαρβάροις Βαβυλὼν σταδίων ιβ′ καὶ
ποδῶν σῃ′· ἡ δὲ Ῥώμη σταδίων ιδ′ καὶ ποδῶν κ′· Ἀλεξάνδρεια σταδίων
ις′ καὶ ποδῶν τριακοσίων ἐνενήκοντα πέντε.

Παραγενόμενος οὖν ὁ Ἀλέξανδρος εἰς τοῦτο τὸ ἔδαφος εὗρε τοὺς 32
ποταμοὺς καὶ τὰς διώρυχας καὶ τὰς κώμας συνεστώσας. ἀπὸ δὲ τῆς γῆς 2
ἐπὶ τῆς θαλάσσης νῆσόν τινα ἐθεάσατο καὶ πυνθάνεται, τίς καλεῖται ⟨ἡ⟩
νῆσος· οἱ δὲ ἐγχώριοι εἶπον· Φάρος· Πρωτεὺς δὲ αὐτόθι κατῴκησεν, ⟨οὗ
καὶ⟩ τὸ μνῆμα τοῦ Πρωτέως ἐστὶ τὸ παρ' ἡμῖν θρησκευόμενον ἐπί τινος
ὑψηλοτάτου ὄρους.' Ἤνεγκαν αὐτὸν εἰς τὸ νῦν καλούμενον ἡρῷον καὶ 3
ἐπέδειξαν τὴν λάρνακα. θύσας δὲ τῷ ἥρωι Πρωτεῖ καὶ ἰδὼν ἀπὸ τοῦ
χρόνου καταπεπτωκὸς τὸ μνῆμα ἐκέλευσεν αὐτὸ ταχέως ἀνορθῶσαι, χωρο-
γραφεῖσθαι δὲ καὶ τὸ περίμετρον τῆς πόλεως.

Οἱ δὲ ἄλευρον βαλόντες ἐχωρογράφησαν· καὶ καταπτάντα ὄρνεα πάν- 4
τα . . λαβόντα ἀπέπτησαν. συμφοράζων δὲ ὁ Ἀλέξανδρος μετεπέμψατο
σημειολύτας καὶ εἶπε τὸ γεγενημένον· οἱ δὲ ἀπεκρίναντο· Αὕτη ἡ πόλις
κτισθεῖσα ὅλην τὴν οἰκουμένην θρέψει καὶ πανταχοῦ ἔσονται οἱ ἐν αὐτῇ

---

1 ἀλέξανδρον πρῶτον ὀρ. A, corr. ex Arm. Val. ὀχετίους π. ξηρεύοντας A ἐπιρρέοντας B′ Arm. 2 an ⟨ὁ⟩ πεισθείς? 3 ἔχει Byz. Arm. Val. ἀπόνομοι A τό: τί A 5 πόλει A 5—19 om. B′ usque ad 10 Byz., contrahit Arm. 6 ἐχωρο-φραφήθησαν A 7 numeri non ad stadia et pedes, sed ad milia passuum referendi δὲ ναφρικὴ A 8 ις′ A: κα′ Arm. ι′ Val. ποδῶν $\overline{\beta L}$ (aut $\overline{\omega L}$) i. e. δυοῖν ἡμίσεος A: τε′ Arm. *stadii parte quarta* (i. e. ped. ρν′) Val. ιβ′ Val.: ιω′ A 9 ἡ δὲ — 10 πέντε om. Arm. σῃ′ A: σκ′ Val. κ′ A: ρκ′ Val. Vespasiani aetate numerus erat XIII milium CC (Plin. 3, 66) 10 ις′ Val.: ιβ′ A τοε′ Val. 11 sq. inepte repetita e p. 28, 12 12 διορυχὰς A συνεστώσας non capio; *solo, quod praedictis alveis atque vicis olim consitum mox urbs una contexit* Val. (unde possis ⟨εἰς μίαν πόλιν⟩ συν.); κατασταθείσας Arm. ἐκεῖσε ἀνελθὼν Ἀλ . . . καὶ ποτ. πολλοὺς εὑρὼν κωμῶν διώρ. τε ἔκλεισε ταύτας ἀσφαλῶς Byz. (qui om. ἀπὸ — 32, 15 Κοπρία). Cf. p. 28, 13 13 τινα: τί A 14 δὲ αὔτη δὴ κατοίκησεν A ἐν ταύτῃ Arm. οὗ καί suppl., ubi καὶ tantum Arm. 16 θροῦς ἤνεγκεν A, corr. ex Arm. Sententia inepta (fuitne ἤγαγον?), nec mons ibi umquam fuit τό: τὸν A 17 ἐπιδείξαντες A et possis del. καὶ ἡρώωι ἱπποτεύει A (male ἐποπτεύει Müll.) 18 χρυσοῦ κατ. A αὐτὸν A 19 metatio urbis nullo pacto coniungitur eum Protei sepulcro 20 κατὰ πάντων τὰ ὄρν. A παντο-δαπὰ B′ Arm. Val. 21 supple τὸ ἄλευρον ex cett. ἀνέστησαν A, corr. e B′ Arm. 22 τῶι γεγενημένων A nempe ⟨ἡ⟩ κτ.

γεννηθέντες ἄνθρωποι· καὶ γὰρ τὰ πετεινὰ ὅλην τὴν οἰκουμένην περι-
επορεύσαντο.'
Ἤρξαντο δὲ οἰκοδομεῖν τὴν Ἀλεξάνδρειαν ἀπὸ Μέσου πεδίου, καὶ 5
ἔσχεν ὁ τόπος τὴν προσωνυμίαν ἀρχὴν διὰ τὸ ἀπ' ἐκεῖθεν ἄρξασθαι τὴν
τῆς πόλεως οἰκοδομήν. τοῖς δὲ περὶ αὐτὴν τρεπομένοις δράκων συνήθως 6
παραγενόμενος ἐξεφόβει τοὺς ἐργαζομένους, καὶ ἐγκοπὴν ἐποιοῦντο τοῦ
ἔργου διὰ τὴν τοῦ ζῴου ἐπέλευσιν. μετεδόθη δὲ τῷ Ἀλεξάνδρῳ τοῦτο·
ὁ δὲ ἐκέλευσε τῇ ἐρχομένῃ ἡμέρᾳ ὅπου ἂν καταληφθῇ χειρώσασθαι [ἐνὸς
εἰργάζοντο]. καὶ δὴ λαβόντες ⟨τὴν⟩ ἐπιτροπὴν παραγενομένου τοῦ θηρὸς 7
κατὰ τῆς νῦν καλουμένης Στοᾶς τούτου περιεγένοντο καὶ ἀνεῖλον. ἐκέλευσε
δὲ ὁ Ἀλέξανδρος ἐκεῖ αὐτῷ τέμενος γενέσθαι καὶ θάψας κατέθετο· καὶ πλη-
σίον ἐκέλευσε στεφάνους στέφεσθαι εἰς μνήμην τοῦ ὀφθέντος ἀγαθοῦ δαίμονος.
Ἐκέλευσε δὲ μηδαμοῦ ἀλλαχοῦ βάλλεσθαι τὴν ὀρυγὴν τῶν θεμελίων 8
εἰ μὴ εἰς ἕνα τόπον, καὶ ἔστιν ἕως ἄρτι ὄρος μέγα φαινόμενον, ὃ καλεῖται
Κοπρία. θεμελιώσας δὲ τὰ πλεῖστα τῆς πόλεως μέρη καὶ χωρογραφήσας 9
ἐπέγραψε γράμματα ε', $\overline{A}$ $\overline{B}$ $\overline{Γ}$ $\overline{Δ}$ $\overline{E}$. τὸ μὲν οὖν $\overline{A}$ Ἀλέξανδρος, τὸ δὲ
$\overline{B}$ βασιλεύς, τὸ δὲ $\overline{Γ}$ γένος, τό δὲ $\overline{Δ}$ Διός, τὸ δὲ $\overline{E}$ ἔκτισε πόλιν ἀείμνηστον.
ὑποζύγια δὲ καὶ ἡμίονοι εἰργάζοντο. καθιδρυμένου δὲ τοῦ ἡρῴου † ἐπὶ 10
ἓν ἐπιστύλιον . . . ἐξεπήδησεν ἀπ' αὐτοῦ πολλὴ ἴλη ⟨ὄφεων⟩, καὶ ἑρπύ-
σαντες εἰσέδραμον εἰς τὰς οἰκίας τὰς ἤδη γενομένας δ'. ἔτι ⟨δὲ⟩ παρὼν
ὁ Ἀλέξανδρος καθίδρυσε Τύβι κε' ⟨τὴν πόλιν⟩ καὶ αὐτὸ τὸ ἡρῷον. ὅθεν 11
καὶ τούτους τοὺς ὄφεις ἐσεβάζοντο οἱ θυρωροὶ ὡς ἀγαθοὺς δαίμονας εἰσι-
όντας εἰς τὰς οἰκίας. οὐ γάρ ἐστιν ἰοβόλα, ἀλλὰ καὶ τὰ δοκοῦντα εἶναι
ἰοβόλα ἀπελαύνουσι. καὶ θυσία τελεῖται αὐτῷ τῷ ἥρωι ⟨ὡς ὀφιογενεῖ⟩.

1 περικυκλοῦσι B' Arm., et opus praesente 3—15 om. B' 3 οἰκονομεῖν A de loco Noack 270 τὴν τῆς ὀνομασίας ἀρχὴν Arm. ἄχρι νῦν pro ἀρχὴν Müll. sententiam corrumpens; an del. ἀρχήν? 5 τὴν δὲ π. αὐτὸν τρεπομένην A σύνηθος A 6 τοῖς ἐργαζομένοις A ἐκκοπὴν A *impediri opera videbantur* Val. 7 τούτωι A 8 dittogr. e. v. 18 9 add. ex Arm. 10 τοῦτον A τετράγωνος στοά est Arch. f. Pap. V 37 11 αὐτῷ Arm.: τὸ A πλησίον A *iuxtim iubet coronarias opificinas adiacere* Val. om. Arm. 12 τοῦ φανέντος ὄφεως Arm. Cf. RE Suppl. III 49 sq. 14 μέγα Arm.: μετα A 15 καὶ χωρογραφήσας B': ἐχωρογράφησεν καὶ A 17 ἀμίμητον B' Arm., cf. p. 27, 18. πόλ. ἀείμν. melius abessent cf. Jos. b. J. II 495 Schubert Arch. f. Pap. V 37 18 ἡμίονες A (cf. v. 8). Haec ab ipso auctore male disposita (ὑποζ. — εἰργ. om. Arm. Val.) ἱδρυμ. τοῦ πυλῶνος τοῦ ἡρ. ἐξαίφνης πλὰξ μεγίστη ἐξέπεσεν ἀρχαιοτάτη, ἐξ ἧς ἐξῆλθον ὄφεις B' (Byz. Val.) ἱδρ. δὲ τοῦ πυλῶνος τοῦ ἥρωος τούτου ἀναστήσας ἔθηκεν αὐτὸν ἐπὶ ἐπιστύλιον (*Kapitäl.*) Arm. 19 ὕλη A ἑλκύσαντες A, corr. e B' cett. 20 γὰρ pro δὲ Arm. B' δ· ἐπεὶ παρὼν A (ἔτι cett., ἐπιπαρὼν Rad.) $\overline{δ}$ fort. ex δὲ ortum, sed αἴτιον latere potest (εἰς τὰς ὁδοὺς τῶν ἤδη τεθεμελιωμένων οἰκιῶν B') 21 τύβη A cf. Lumbroso 139 add. ex B' Arm. 22 σέβονται B' Arm. 23 ἰοβόλος A ἀλλὰ — 24 ὀφιογ. om. B' 24 ὡς ὀφιογενεῖ add. ex Arm. (Val.)

στεφανοῦσι δὲ τὰ κτήνη, ἀνάπαυσιν αὐτοῖς παρεχόμενοι διὰ τὸ συνεργῆσαι
ἀχθοφοροῦντα εἰς τὴν καθίδρυσιν τῆς πόλεως. ἐκέλευσε δὲ ὁ Ἀλέξανδρος 12
τοῖς φύλαξι τῶν οἴκων σῖτον δοθῆναι· οἱ δὲ λαβόντες ἀλήσαντες καὶ
ἀθηροποιησάμενοι τὴν † ἡμέραν τοῖς ἐνοικοῦσι † θάλλον διδόασιν. ὅθεν 13
καὶ μέχρι τοῦ δεῦρο τοῦτον τὸν νόμον φυλάττουσι παρ' Ἀλεξανδρεῦσι,
Τῦβι κε' τὰ μὲν κτήνη στεφανοῦσθαι, θυσιάζεσθαι δὲ τοῖς ἀγαθοῖς δαίμοσι
τοῖς προνοουμένοις τῶν οἰκιῶν καὶ διαδόσεις τῶν ἀθηρῶν ποιεῖσθαι.

Εὗρε δὲ † ἐπὶ πέντε ὑψηλοτάτας λοφίας, † ὅπερ εἰσὶν ἥλιος καὶ 33
Ἡλίωνος στῦλοι καὶ τὸ ἡρῷον. ἐζήτει ⟨δὲ⟩ καὶ τὸ Σαραπεῖον κατὰ τὸν
χρησμὸν τὸν δοθέντα αὐτῷ ὑπὸ τοῦ Ἄμμωνος [καὶ] τοῦ πάντων δυναμικωτάτου θεῶν·

ὦ βασιλεῦ ⟨σοι⟩ Φοῖβος ὁ μηλόκερως ἀγορεύει· 2
εἴ γε θέλεις αἰῶσιν ἀγηράτοισι νεάζειν,
κτίζε πόλιν περίφημον ⟨ὑπὲρ Πρωτηίδα νῆσον,⟩
ἧς προκάθητ' ⟨Αἰὼν⟩ Πλουτώνιος ⟨αὐτὸς⟩ ἀνάσσων
πενταλόφοις κορυφαῖσιν ἀτέρμονα κόσμον ἑλίσσων.

ἐζήτει οὖν τὸν θεὸν τὸν πάντα δερκόμενον. καὶ δὴ ποιήσας μέγιστον 3
βωμὸν ἀντικρὺς τοῦ ἱεροῦ, ὃς νῦν καλεῖται βωμὸς Ἀλεξάνδρου, πολυτελῆ
θυσίαν ἐπετέλεσε καὶ ἐπευξάμενος εἶπεν· "Ὅστις ποτ' οὖν τυγχάνεις θεὸς

1 στεφανοῦντι A παρ. ταύτῃ τῇ ἡμέρᾳ Arm. (cf. v. 4) *statis diebus* Val. διὰ τὸ — 4 διδόασιν om. B′ 2 ἀχθοφοροῦντας A 2 ἐκέλευσε — 7 ποιεῖσθαι om. Byz. praeter haec: φυλάττοντες τὸ νόμιμον μέχρι τῆς δεῦρο πάντες Ἀλεξανδρεῖς ἐγχώριοι, τὴν Τύβι νεομηνίαν (de B′ cf. ad v. 1) 3 de athera cf. Plin. 22, 121. Sophron. Spicil. Rom. III 509 4 nempe ἡμίσειαν (ταύτῃ τῇ ἡμέρᾳ Müll.) *quod sit esui anguibus* Val., unde δράκουσι θαλίας Ausf. *sie gaben es den Bewohnern als Erheiterndes zur Freude* Arm. εἰς θαλίαν praetulerim 5 τοῦτον: αὐτὸν A 6 τύβη A τοὺς ἀγαθοὺς δαίμονας τοὺς προνοουμένους A fort. recte τῷ ἥρωι καὶ θρησκεύειν τοὺς ὄφεις τοὺς προν. Arm. (Val.) διασώσεις A, corr. Müll. 8 εὗρον A ἐπὶ τοῖς ὑψηλοῖς λόφοισιν Byz. (cf. Arm.) ἐν τ. ὑψηλοτάτοις βουνοῖς ναὸν ἱδρυμένον κ. τοὺς Ἡλίωνος στύλους κ. τ. ἡ. B′ *invenit eius universi loci esse eminentias quinque* Val. ἐπὶ ⟨τὴν γῆν⟩ πέντε Ausf. male; fort. ἐπι⟨σκοπῶν⟩ (= *advertens diligentius* Val.) et οὗπερ ἥλιος non ferendum; τὸν πορφυρῖτιν ἥλιον Byz. *die Erde, die die Sonne ist* Arm. Helion n. pr. e. g. RE VIII 46. CEL 1311, 4 *decus urbis est maximum constructa ara quam maxima in eo colli, qui adversus Heroos locum erigi visitur* Val. (legitne κατὰ τὸ ἡρ.? cf. v. 18). 'reperit colles V, unum maximum Solis nuncupatum et e regione Heroi situm, et alios IV, qui columnae Solis appellabantur' Müll. add. e B′ 10 τῶν π. δυναμικώτατον θεόν A (Arm.), corr. dubitans (cf. v. 17) 12—16 = p. 27, 20—24 12 ὦ: σὺ A μιλόκαιρος A ἀγορεύω supra 13 ἀγεράτοις A 14 κτίζει A 15 προυκάθηται πλουτίνιος A; de Aeone cf. Arch. f. Rel. 22, 87f. 199. 16 κορυφαῖς τὸν A 17 δερκόμενον Byz. Arm.: δελκυμένων A δεχόμενον B′ (ἑλίσσων et λεύσσων commutavit cf. p. 34, 1) 18 ἱερὸς υἱὸς νῦν A νῦν A B′: καὶ μέχρι τοῦ νῦν Arm. Byz. 19 cf. p. 34, 21 θεὸς deest infra; nempe ὁ

*προνοούμενος ταύτης τῆς γῆς καὶ τὸν ἀτέρμονα κόσμον ἐπιδέρκῃ, παράδεξαι
τὴν θυσίαν καὶ βοηθός μοι γενοῦ εἰς τοὺς πολέμους.' ⟨Ταῦτα⟩ εἰπὼν ἐπέ- 4
θηκε τὰ ἱερὰ ἐπὶ τοῦ βωμοῦ· αἰφνιδίως δὲ μέγας ἀετὸς καταπτὰς ἥρπασε
τὰ σπλάγχνα τοῦ θύματος καὶ φερόμενος δι' ἀέρος ἐπί τινος ἑτέρου βωμοῦ
ἀφῆκεν· ἀκολουθήσαντες ⟨δὲ⟩ οἱ κατάσκοποι ἐσήμαναν τῷ βασιλεῖ Ἀλεξ-
άνδρῳ τὸν τόπον· ὁ δὲ τάχιον ἐκεῖ παραγενόμενος εἶδε τὰ σπλάγχνα ἐπὶ 5
τοῦ βωμοῦ κείμενα καὶ ναὸν ⌜ὑπὸ ἀρχαιότητος⌝ καθιδρυμένον, ξόανον δὲ
ἔνδον καθεζόμενον, ὃ θνητὴ φύσις οὐχ εὗρεν ἀπαγγεῖλαι· παρειστήκει δὲ
τῷ ἀφράστῳ ξοάνῳ κόρης ἄγαλμα μέγιστον. καὶ ἐπυνθάνετο τῶν ἐκεῖ
κατοικούντων, τίς ὁ θεὸς τυγχάνει· οἱ δὲ ἔφασκον μὴ εἰδέναι μέν, παρει-
ληφέναι δὲ παρὰ τῶν προπατόρων Διὸς καὶ Ἥρας ἱερὸν εἶναι. ἐν ᾧ καὶ 6
τοὺς ὀβελίσκους ἐθεάσατο τοὺς μέχρι νῦν κειμένους ἐν τῷ Σαραπείῳ ἔξω
τοῦ περιβόλου τοῦ νῦν γενομένου, οἳ ἦσαν κεχαραγμένοι γράμμασιν
ἱερατικοῖς. ὁ δὲ Ἀλέξανδρος ἐπύθετο, τίνος εἰσὶν οἱ ὀβελίσκοι· οἱ δὲ
ἔλεγον· 'Βασιλέως κοσμοκράτορος Σεσογχώσεως.' Κεῖται δὲ ἡ ἐπιγραφὴ
αὕτη ἱερατικοῖς γράμμασι· 'Βασιλεὺς Αἰγύπτου Σεσόγχωσις κοσμοκράτωρ
τῷ προφανεῖ τοῦ κόσμου θεῷ Σαράπι ἀνέθηκεν.' Εἶπεν οὖν ὁ Ἀλέξανδρος 7
ἀποβλέψας εἰς τὸν θεόν· 'Μέγιστε ὦ Σάραπι, εἰ σὺ τυγχάνεις τοῦ κόσμου
θεός, δήλωσόν μοι.' Ὤφθη δὲ αὐτῷ διὰ τῶν ὕπνων ὁ μέγιστος θεὸς καὶ
εἶπεν· 'Ἀλέξανδρε ἐξελάθου, τί εἶπες ποιῶν τὴν θυσίαν; οὐ σὺ εἶπες·
"ὅστις ποτ' οὖν τυγχάνεις προνοούμενος ταύτης τῆς γῆς καὶ τὸν ἀτέρμονα 8
κόσμον ἐπιδέρκῃ, παράδεξαι τὴν θυσίαν καὶ βοηθός μοι γενοῦ εἰς τοὺς
πολέμους." καὶ αἰφνιδίως ἀετὸς καταπτὰς ἁρπάσας τὰ σπλάγχνα ἔθηκεν
ἐπὶ τοῦ βωμοῦ; οὐκ ἦν σε ἐπιγνῶναι, ὅτι ἐγώ εἰμι ὁ πάντων προνοούμενος
θεός;' Τοῦ δὲ κατὰ τοὺς ὀνείρους παρακαλοῦντος τὸν θεὸν καὶ λέγοντος· 9
'Εἰ διαμενεῖ ἡ πόλις αὕτη ⟨ἡ⟩ ἐπὶ τῷ ὀνόματί μου κτιζομένη Ἀλεξάνδρεια*

3 *αἰφνίδιος* A 4 *σπλ. θύματα* A, corr. e cett. 5 *κολλήσαντες* A (om. cett.) 6 *τῶι τόπωι* A *τάχιος* A (potes *ταχέως*) 7 *ναὸν* A Val.: *βωμὸν* B′ Arm. *ὑπ' ἀρχαίων* B′ (Byz. Arm.) *quodque aevi longinquitas superasset ac diruisset* Val. Fuitne *κατερειφθέντα*? *ξόαν. χαλκοῦν* Arm. 8 *προκαθεζ. κ. τῇ δεξιᾷ χειρὶ κομίζοντα θηρίον πολύμορφον, τῇ δὲ εὐωνύμῳ σκῆπτρον κατέχοντα* B′ *οὐ θνητὴν φύσιν* A *οὐ θνητὸς* Ausf. ex Arm. *παρέστηκεν* A 9 *ἀφθάρτωι* A Arm. *ἀφάτῳ* Raabe 11 *εἶναι: ἦν* A 12 *obeliscos duos* Val. Syr. 13 *οἳ: ἐν οἷς* A (volebat *κεχαραγμένα γράμματα* ut B′). Hoc enunt. abundat (v. 15). Seqq. ad p. 37, 6 valde decurtata in B′ Byz. 14 *τίνες* A *τί* Arm. 15 *ἐσογχώσεως* A cf. RE II A 1856 16 *βασιλεῖ Αἰ. ἐσόγχωσης* A 17 *τὸ προφανῆ τούτου κόσμου ὁ σήραπη* A, corr. ex Arm. *praesuli mundi totius Sarapi* Val., unde *προστάτῃ* Müll. Forma *Ὀσέραπις* latere potest, item v. 18 (RE I A 2395) *οὖν: γὰρ* A 18 *σίραπι* A an ⟨*ὁ προνοούμενος*⟩ *τοῦ*? 19 excidisse aliqua post *μοι* putat Müll. 20 *εἶπας* (vel *εἶπεν*) bis A 21 *ὥς ποτ' οὖν* A *ταύτην* A 22 *ἐπιδέρκειν* A 24 *ἐπινοούμενος* A 25 *ὁμήρους* A, corr. ex Arm. *λέγοντας* A 26 an potius *κληζομένη* (sine *ἡ*)? *an nominis sui inhaesura appellatio videretur* Val.

εἴτε μεταβληθήσεταί μου τὸ ὄνομα εἰς ἑτέρου βασιλέως ὀνομασίαν, μήνυσόν
μοι.' 'Ορᾷ δὲ τὸν θεὸν κρατοῦντα αὐτὸν τῆς χειρὸς καὶ φέροντα παρά 10
τι ὄρος μέγιστον καὶ λέγοντα· 'Ἀλέξανδρε δύνασαι μεταθεῖναι τοῦτο τὸ
ὄρος εἰς ἕτερον μέρος'; 'Υπενόησε λέγειν· 'Οὐ δύναμαι κύριε.' Καὶ ὁ θεὸς
εἶπεν· 'Οὕτως οὐδὲ τὸ σὸν ὄνομα δύναται εἰς ἑτέρου βασιλέως ὀνομασίαν
μεταβληθῆναι. ἀλλὰ καὶ αὐξηθήσεται ἀγαθοῖς Ἀλεξάνδρεια, αὔξουσα τὰς
προγενεστέρας ἑαυτῆς πόλεις.' Ὁ δὲ Ἀλέξανδρος εἶπε· 'Κύριε ἔτι τοῦτό
μοι δήλωσον, πότε καὶ πῶς μέλλω μεταλλάσσειν.' Τὸν δὲ θεὸν λέγειν· 11

"Ἄλυπόν ἐστι καὶ καλὸν καὶ τίμιον
θνητὸν γεγονότα μὴ προειδέναι, πότε
ἔστιν τὸ τέρμα τῆς τελευτῆς τοῦ βίου.
βροτοὶ γὰρ ὄντες οὐ νοοῦσιν ἐν φρεσίν
ἀθάνατον εἶναι τὸν βίον τὸν ποικίλον,
ὅταν ἔχωσιν ἄγνοιαν τῶν συμφορῶν.
τὸ δ' αὐτὸ καὶ σὺ τοῦτο κάλλιστον δόκει,
τὸ μέλλον εἴ σοι μὴ προειδέναι φίλον.
ἐπεὶ δ' ἐρωτᾷς αὐτὸς ἐκμαθεῖν θέλων,
ἔνεστι· πεύσῃ συντόμως οὕτω τόδε.
σὺ μὲν ταγαῖσι ταῖς ἐμαῖς νέος γεγὼς
τὰ φῦλα πάντα καθυποτάξεις βαρβάρων ...
† ἥξεις δὲ πόλιν ποθητὴν κόσμου κόσμον ἔνθεον.

1 εἴτε μὴ Arm. βασιλεῖαν A 4 ἕτερον Arm. (*in diversa* Val.): τοῦτο τὸ A οὐ A: ποῦ Arm. Leo (cf. Syr.) 6 ἀμαυροῦσα Müll. βοηθὸς καὶ ἀλεξίκακος οὖσα Arm. τοῦ προγενέστερος ἑ. πόλις A 7 κε̄ ἐν τούτωι μοι A (ἔτι Arm. *adhuc* Val.) 8 Syr. haec (fere usque ad v. 12) post p. 37, 6 posuit 9 — p. 36, 2 om. B' versus non dirimit A (cf. III 24) ἄλυπος et καλὸς et τίμιος A 11 ἔ. τίτελμα A post h. v. pergit Leo: *mortem iustam habes recipere cum potione. suspicio aliqua non sit in te, qua hora apprehenderit te infirmitas. morieris in iuventute tua transeundo multa mala* (pergit ad 37, 7); cf. Syr. 12 συννοοῦσιν Raderm., fuitne παρανοοῦσιν? *meus quippe homulli non videt, variantia quod haec reformet perpes aeviternitas* Val. *weil die Menschen, obwohl sie sterblich sind, in ihrem Sinn wähnen, daß sie nicht sterben und daß diese Welt sich auflöst* Syr. 13 αὐτῶν ἀθ. εἶ. τ. β. καὶ π. Arm. add. *laeta est timoris omnis ignoratio* Val. 14 versus eiusdem farinae quales in I 46. II 20 15 τῶι δ' αὐτῶι καὶ σοὶ A (τόδ' αὐτὸ Müll.) δοκεῖ A 16 εἴ σοι: ἐνσοὶ A ἐπὶ σὲ Arm. *si* Val. φίλε A Arm. 17 αὐτὰς A 18 ἓν ἐστὶ πεῖσαι συντόμου σε τούτωι τότε A *so werde ich dich schnell hierdurch überzeugen* Arm., corr. Ausf. *ergo hisce quae fas instruere ut praescias* Val. 19 ταγέσι A γεγονὼς A: τὸν νοῦν Arm. *tu nam levatus nostra praepotentia* Val. 20 add. Arm. καὶ τότε ἥξεις πρὸς ἐμὲ θανὼν καὶ μὴ θανών (cf. p. 36, 21). *tuncque haec revises animo, liber artubus* Val. ἥξεις δὲ πάλιν initium versus fuisse potest 21 νῦν ἣν κτίζεις ἐν μέσῳ τῆς γῆς πόλιν Arm. *urbs vero, quam nunc erigis, mundi decus nitore surgit* Val. Hariolor: ἣν δὲ κτίσεις νῦν πόλιν ... κόσμῳ ποθητήν, κόσμον ⟨αὐτὴν⟩ ἔνθεον

καιρῶν δὲ πλείστων καὶ χρόνων προβαινόντων
καὐτὴ προβήσετ' ἐν ἀγαθοῖς, κοσμουμένη
ναοῖσι πολλοῖς καὶ τεμένεσι ποικίλοις
κάλλει τε μεγέθει τῶν ὄχλων εὐπληθείᾳ.
καὶ πᾶς ἐς αὐτὴν εἰσελεύσεται μένειν
τῆς πρὶν τεκούσης ἐκλελησμένος γύης.
ἐγὼ δὲ ταύτης προστάτης γενήσομαι
ἔθε.........προκαθίσας † ἀοράτοις
τὴν γῆν † ἑδράσας καὶ τάξας πόλον μένειν,
βυθοὺς ἁπλώσας καὶ τὸ πῦρ ἐκφοιβάσας,
νότον δὲ θαμβῶν μὴ πνέειν δυσήμερον,
ὅπως τὰ χαλεπὰ τῶν πονηρῶν δαιμόνων
μηδὲν δυνηθῇ διαταράξαι τὴν πόλιν.
σεισμὸς γὰρ ἔσται πρὸς ὀλίγον λιμός θ' ἅμα
λοιμός θ' ὁμοίως, πόλεμος οὐ βαρὺς φόνῳ,
ἀλλ' ὡς ὄνειρον διαδραμοῦνται τὴν πόλιν.
πολλοὶ δὲ διὰ βίου σε πάντῃ πάντοτε
καθὼς θεὸν γεγονότα προσκυνήσουσιν.
σὺ δ' ἀποθεωθεὶς προσκυνηθήσῃ θανὼν
καὶ δῶρα λήψῃ βασιλέων. σὺ πάντοτε
οἰκήσεις αὐτὴν καὶ θανὼν καὶ μὴ θανών·

3 hinc inc. B′ Byz. (Syr.) πολὺς et ποικίλων A 4 ἐπευθείαι A πολυπληθείᾳ Arm. ὑπερφέρουσα πλήθει ὄχλων B′ Byz. *civium concordia* Val. (unde εὐπειθείᾳ Müll.) 5 εἰς A 6 τῆς πρὶν Arm. (Val.): πρὶν τῆς A 7 ἔσομαι προστάτης A, corr. B′ 8 post ἔθε lac. 5—6 lit. A θεὸς ἐν πᾶσι τοῖς αἰῶσι προκ. ἀμάραντος καὶ ἀγήρατος Arm. *quippe ipse laetis coetibus praesul cluo interminatis saeculorum cursibus* Val. ἔτεσ' ἀορίστοις προκ. ἀγήρατος Ausf. Hariolor: ἐθελημὸς αἰεὶ προκ. ἀγήρατος 9 τ. γ. ἑδραιώσας κ. πόλιν τ. ταύτην μένειν εἰς ἀεὶ βεβαίαν Arm. *fundata quod sit tellus hisce legibus* Val. ἱδρύσας Müll. An τ. γ. ἑδραίως κατὰ νόμον τάξας μ.? 10 βυθοῖς A ἐκφοβήσας A, corr. Ausf. ἐκφωτίσας Arm. 11 νῶτον δὲ θάμβην μὴ πνέην A, corr. ex Arm. Val. cf. Ammian. 22, 16, 8 (Lumbroso Bull. d'Alex. V 103) 12 ὅπου A possis χαλεπαινόντων πον. *ne quid potentum vis meditata daemonum*(?) Val. ὅπως μὴ τὰ χαλεπὰ τελέως ἐπιμείνῃ B′ 13 διαπρᾶξαι A′, corr. Müll. πρᾶξαι πρὸς τ. π. Arm. *noceret* Val. 14 λιμὸς οὐ θαμαλὸς A *es sollen nur leichte Erdbeben in ihr vorkommen und keine großen Schädigungen in ihr anrichten* Syr. *denn Erschütterung hat sie nur wenig und Plage zugleich und Hunger* Arm., ex quo corr. Ausf. 15 μοσόμοιος πόλ. οὐ β. φόνων A *ebenso Kampf, aber nicht schwer durch Vernichtung* Arm. *famemque nosse celere perfunctam metu, tractus luales atque bella percita* Val. λοιμοῦ Byz. οὖλος δὲ μόριμος πόλ. Ausf. 16 non opus ὄνειροι (ὄνειρος aut ἐν ὀνείρῳ B′) 17 πολὺ δὲ διαβιοῦσι π. A πολλοὶ δὲ βασιλεῖς B′ Arm. *reges* Val. possis σ' ἄνακτες π. 18 θεοῦ Müll., et divi filium vocari expectes 19 θανών Arm.: ὡς θεός A νεκρός B′ Byz.

τάφον γὰρ ἕξεις αὐτὸς ἣν κτίζεις πόλιν.
† πείσω δὲ Ἀλέξανδρε τίς πέφυκ' ἐγώ·
δὶς ἑκατὸν ἤδη καὶ μίαν ψῆφον σύνθες,
εἶθ' ἑκατὸν ἄλλας καὶ μίαν, † τετράκις εἴκοσι καὶ δέκα,
λαβὼν δὲ πρῶτον γράμμα ποίησον ἔσχατον·
καὶ τότε νοήσεις, τίς πέφυκ' ἐγὼ θεός.'

Ὁ μὲν οὖν θεὸς χρηματίσας εἰς ἑαυτὸν ἀνεχώρησεν· ὁ δὲ Ἀλέξανδρος 12
διεγερθεὶς τῶν ὕπνων καὶ ἀναποδίσας τὸν χρησμὸν ἐπέγνω τὸν τῶν ὅλων
θεὸν μέγαν Σάραπιν. βωμὸν δὲ μέγαν ἱδρυσάμενος ἱερά τε ἄξια τῷ θεῷ
ἐκέλευσε κομίζεσθαι καὶ ἀποσφάξαντας ἐπιβάλλειν εἰς τὸν βωμόν· λιβάνου
δὲ πλῆθος καὶ ἀρωμάτων παντοίων σωρηδὸν ἐπιβάλλων ἐκέλευσεν εὐωχεῖ-
σθαι πάντας.

Κελεύει δὲ καὶ Παρμενίωνι ἀρχιτέκτονι ξόανον κατασκευάσαι δωμησά- 13
μενον τέμενος ἐμφερὲς τοῖς Ὁμηρικοῖς στίχοις, ὥς εἶπεν ἐκεῖνος ὡδί που
⟨ὁ⟩ ἀοίδιμος Ὅμηρος (Il. A 528 sqq.).

ἦ καὶ κυανέῃσιν ἐπ' ὄφρυσι νεῦσε Κρονίων·
ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος
κρατὸς ἀπ' ἀθανάτοιο, μέγαν δ' ἐλέλιξεν Ὄλυμπον.

ὁ μὲν οὖν Παρμενίσκος κατεσκεύασε τὸ καλούμενον Παρμενίσκου Σαραπεῖον. καὶ τὰ μὲν τῆς κατασκευῆς τῆς πόλεως οὕτως ἔχει.

Ὁ δὲ Ἀλέξανδρος παραλαβὼν τὰ στρατεύματα ἐπείγετο εἰς τὴν 34
Αἴγυπτον, πέμψας τὰ λίβερνα περιμένειν αὐτὸν εἰς Τρίπολιν. ἔκαμνε δὲ
τὸ στράτευμα τῆς ὁδοιπορίας δυσχεροῦς οὔσης. ὑπαντῶντες ⟨δὲ⟩ τῷ 2
Ἀλεξάνδρῳ κατὰ πᾶσαν πόλιν οἱ προφῆται τοὺς ἰδίους θεοὺς κομίζοντες
ἀνηγόρευον αὐτὸν νέον Σεσόγχωσιν κοσμοκράτορα. ἐπειδὴ δὲ εἰς τὴν Μέμφιν

---

1 *αὐτὴν* A cett., *αὐτὸς* infra III 24 2 *πείσω* A Arm. *δείξω* Byz. *πείραζε* vel *πειράσω* B′. Fuitne *πέπυσαι 'λέξανδρε*? At *τίς πέφυκα συντόμως* B′ Byz. (Arm.), quod si verum possis *ψήφιζε βασιλεῦ τ. π. σ.* *nunc ipse quis sim mente bibula percipe* Val. 3 *συνθέσει τε ἑκατὸν* A (*εἶτα* B′) '*ἑκατόν, μίαν καὶ τετρ. εἴκ. καὶ δ.*: sed potius duo versus fuerint' Müll. 5 *πρῶτον δὲ λ. πρᾶγμα* A, corr. Müll. ex B′ de anapaesto discisso cf. Gl. XIII 154 7—19 om. Syr. Leo 7 *εἰς* A: *ὡς* Müll. *ἐχώρησεν* A, corr. ex B′ 9 *σέραπιν* A *βωμὸν* — 19 *Σαραπεῖον* om. B′ *δὲ*: *τε* A 10 *ἀποβάλλειν* A 13 *ξόανον χαλκοῦν* Arm. *δομησάμενος* A *δομ. τέμ.* verba offendunt; *καὶ δομήσασθαι τέμ.* Arm. (Byz.), om. Val. 14 an *οὗς*? *ὠθῆπου* A *ἔσθ' ὅπου* Müll. 16 *κυανέοισιν . . νεῦσαι* A 19 *Παρμενίσκος*: Parmenionem (ut v. 13) vocant ceteri fontes *σαράπιον* A 21 *ἐπήγετο* A 22 Aegyptus recte secernitur ab Alexandria *Αἴγ. ἀπελθεῖν* B′ Arm. *Ascalonam* Leo Syr. *Τύρον πόλιν* cl. Arr. III 6, 1 Ausf., frustra in rerum ordine temere mutato 23 *ὑπήντων τίς τῶι* A 24 de prophetis cf. ex. gr. Klio 18, 218 25 *εἰς τὴν ἄμεμφον* A

παρεγένετο, ἐνεθρόνιζον αὐτὸν εἰς τὸ τοῦ Ἡφαίστου ἱερὸν θρονιστήριον
καὶ ἐστόλιζον ὡς Αἰγύπτιον βασιλέα.
Ὁρᾷ δὲ ὁ Ἀλέξανδρος ἀνδριάντα μέλανος λίθου καὶ ἐπιγραφὴν εἰς 3
τὴν βάσιν· „Ὁ φυγὼν βασιλεὺς πάλιν ἥξει εἰς Αἴγυπτον, οὐ γηράσκων
ἀλλὰ νεάζων, καὶ τοὺς ἡμῶν ἐχθροὺς Πέρσας ἡμῖν ὑποτάξει.“ Ἐπυνθάνετο 4
δέ, τίνος ὁ ἀνδριάς; οἱ δὲ εἶπον· „Οὗτός ἐστιν ὁ ὕστατος ἡμῶν γενόμενος
βασιλεὺς Νεκτανεβώ, ὅστις ἐρχομένων τῶν Περσῶν τὴν Αἴγυπτον πολεμῆσαι
εἶδε διὰ τῆς μαγικῆς δυνάμεως τοὺς θεοὺς τῶν Αἰγυπτίων στρατοπεδάρχας
τῶν πολεμίων τυγχάνοντας εἰς τὴν Αἴγυπτον [ὃς] καὶ μαθὼν
τὴν ὑπ᾽ αὐτῶν γενομένην προδοσίαν ἔφυγεν. ζητούντων δὲ ἡμῶν αὐτὸν 5
⟨καὶ⟩ ἀξιούντων τοὺς ἰδίους θεούς, ποῦ ἔφυγεν ὁ βασιλεύς, ἐχρημάτισεν
ἡμῖν ὁ ἐν τῷ ἀδύτῳ τοῦ Σινωπείου θεὸς οὕτως· „Ὁ φυγὼν βασιλεὺς πάλιν
ἥξει ἐν Αἰγύπτῳ, οὐ γηράσκων ἀλλὰ νεάζων, καὶ τοὺς ἡμῶν ἐχθροὺς Πέρσας
ἡμῖν ὑποτάξει.“
Ταῦτα ἀκούσας ὁ Ἀλέξανδρος ἀνάλλεται ἐπὶ τοῦ ἀνδριάντος καὶ περι- 6
πλέκεται εἰπών· „Οὗτος ἐμὸς πατήρ ἐστιν· τούτου ἐγὼ υἱὸς τυγχάνω.
οὐκ ἐψεύσατο ὑμᾶς ὁ τοῦ θεοῦ χρησμός. καίτοι θαυμάζω, πῶς ὅλως
κατελήφθητε ὑπὸ βαρβάρων τείχη ἔχοντες ἀχειροποίητα, μὴ δυνάμενα
καταβληθῆναι ὑπὸ πολεμίων. ποταμοὶ γάρ εἰσι κυκλόθεν οἱ φυλάσσοντες 7
ὑμῶν τὴν πόλιν καὶ τρίβοι σκολιοὶ δύσκαμποι, ὡς μὴ δύνασθαι πλῆθος
στρατιᾶς ἐπιβῆναι· καὶ γὰρ ἐγὼ πρὸς ὑμᾶς μετ᾽ ὀλίγων ἐρχόμενος ἔκαμνον
διὰ τὴν δυσέκβατον ὁδόν. ἀλλὰ τοῦτο τῆς τῶν θεῶν προνοίας καὶ δικαιό- 8
τητος ἦν, ἵνα ὑμεῖς οἱ ἔχοντες [τὴν] γῆν εὔφορον καὶ ποταμὸν γόνιμον
ὑποτεταγμένοι ἦτε τῇ τῶν ταῦτα μὴ ἐχόντων ἐξουσίᾳ. εἰ γὰρ μετὰ τούτων
ὧν ἔχετε δωρεῶν καὶ ἐβασιλεύετε, ἔθνησκον ἂν οἱ βάρβαροι ταῦτα μὴ
κεκτημένοι· ὅθεν οἱ μὲν μὴ ἔχοντες ταῦτα δύναμιν ἔχουσι πολεμικήν, οἱ
δὲ ἔχοντες τέχνην γεωργικὴν δουλεύετε τοῖς μὴ ἔχουσι, καὶ οἱ μὴ ἔχοντες
παρὰ τῶν ἐχόντων λαμβάνουσιν.“

1 ἐθρόνιζον A, corr. e B′ εἰς τὸν A 3 ἀνδριὰν A 5 ὑμῶν ἐ. πέρας ὑμῖν A (cf. v. 13) 6 οἱ δὲ προφῆται B′ Syr. ὕστερον A ἐς ὕστερον Byz. ἔσχατος B′ Arm. Syr. 7 πορθῆσαι B′ 8 στρατόπεδα A B′ (qui τὰ στρ.) ἐν τοῖς στρατοπέδοις Arm. (προοδηγοῦντας pro τυγχάνοντας B′) 9 εἰς sic stare nequit; ἐλθόντων add. Arm. καὶ τὴν Αἴ. ὑπ᾽ αὐτῶν πορθουμένην B′ 12 ἐν τ. ἀδ. ἐν τῷ Σαραπείῳ Arm. (cf. p. 3, 12) ἡμῖν ὅτι οὗτος ὁ B′ 13 πέρας A 17 ἡμᾶς A ὅλω A 18 ὑπὸ τῶν B′ ἀκαταμάχητα B′ *supra humanarum manuum violentiam .. congestos* Val. Fuitne ἀχείρωτα? 19 βληθῆναι A, corr. ex B′ ποταμοὶ — 22 ὁδόν om. B′ Byz. *welche euer Land umgeben* Syr. (qui om. seqq. usque ad v. 28) 20 δύσβατον Arm. aptius 21 ὀλίγον A 23 ἦν: ὃν A ποταμοὺς (om. γόν.) Arm. *his fluminibus* Val. 24 ὑποτεταγμένον εἶτε τί τῶν ταῦτα A ἐξουσίαν A τοῖς μὴ ἔχουσι ταύτην τὴν ἐξ. Arm. εἰ γὰρ — 28 λαμβ. om. B′ Byz. 25 βασιλεύετε A an ⟨οἱ⟩ ταῦτα? 27 γεωργ. ἵνα (ὑμεῖς Müll.) δουλεύητε A τί ἐδουλεύσατι Arm. Nexum olim diversum fuisse ostendere vid. Val.

Οὕτως εἰπὼν ὁ Ἀλέξανδρος ᾔτησε παρ᾽ αὐτῶν φόρους, οὓς ἡτοιμάκασι 9
Δαρείῳ, λέγων· ‘Οὐχ ἵνα εἰς τὸ ἴδιον ταμιεῖον ἀπενέγκωμαι, ἀλλ᾽ ἵνα
δαπανήσω εἰς τὴν ὑμῶν πόλιν Ἀλεξάνδρειαν τὴν πρὸς Αἰγύπτῳ μητρό-
πολιν οὖσαν τῆς οἰκουμένης.᾽ Οὕτως αὐτοῦ εἰπόντος ἀσμένως δέδωκαν τὰ
χρήματα καὶ μετὰ τιμῆς ἐξέπεμψαν αὐτὸν διὰ τοῦ Πηλουσίου.

Ὁ δὲ ⟨τὸ⟩ στρατόπεδον ἀναλαβὼν καὶ ἀναζεύξας | τὴν ἐπὶ Συρίαν 35
ὁδὸν ἐποιεῖτο· ὑπηκόους δὲ ἔσχε τὰς ἔγγιστα πόλεις. κἀκεῖθεν στρατο-
λογήσας χιλίους καταφράκτους εἰς Τύρον παρεγένετο. καὶ ἀντιτάσσονται 2
αὐτῷ Τύριοι μὴ ἐῶντες αὐτὸν διὰ τῆς πόλεως εἰσελθεῖν κατά τινα χρησμὸν
ἀρχαῖον δοθέντα αὐτοῖς τοιοῦτον· ‘ἐάν, φησι, διέλθῃ ὑμᾶς βασιλεύς, ἐπὶ
ἐδάφους ὑμῶν ἔρχεται ἡ πόλις.᾽ ὅθεν ἀντέστησαν τοῦ μὴ εἰσελθεῖν τὸν 3
Ἀλέξανδρον· καὶ ἀντιτάσσονται αὐτῷ Τύριοι περιτειχίσαντες ὅλην τὴν
πόλιν, ⟨καὶ⟩ κραταιᾶς μάχης γινομένης πολλοὺς ἀναιροῦσι τῶν Μακεδόνων
οἱ Τύριοι καὶ θλίβεται τὸ στράτευμα Ἀλεξάνδρου. ὑπέστρεψε δὲ ὁ Ἀλέξαν- 4
δρος καὶ ἀνακτησάμενος αὐτὸν ἐζήτει Τύρον ἐκπορθῆσαι. καὶ ὁρᾷ τινὰ
κατὰ τοὺς ὕπνους λέγοντα αὐτῷ· ‘Μὴ γένῃ σεαυτοῦ ἄγγελος εἰς Τύρον.᾽
Τοῦτο ἰδὼν ἀνίσταται τῶν ὕπνων καὶ πέμπει πρέσβεις μετ᾽ ἐπιστολῆς
περιεχούσης οὕτως·

[Ἐπιστολὴ Ἀλεξάνδρου Τυρίοις.] ‘Βασιλεὺς Ἀλέξανδρος Μακεδόνων, 5
υἱὸς Ἄμμωνος καὶ Φιλίππου βασιλέως παῖς καὶ αὐτὸς δὲ βασιλεὺς μέγιστος
Εὐρώπης, Ἀσίας καὶ Λιβύης Τυρίοις τοῖς μηκέτι οὖσι λέγει. ἐγὼ τὴν ἀρχὴν
† ποιούμενος τὰ ἔθνη | μετ᾽ εἰρήνης καὶ εὐνοίας ἐβουλόμην τὴν εἴσοδον
ποιήσασθαι. εἰ δὲ ὑμεῖς ⟨οἱ⟩ Τύριοι ⟨πρῶτοι⟩ τυγχάνοντες οὐ τῇ πολι-
τείᾳ λέγω, ἀλλὰ .... τῇ εἰσόδῳ τῆς ὁδοιπορίας ἀντιτάσσεσθέ μοι, δι᾽ ὑμῶν
μαθήσονται καὶ οἱ ἕτεροι, πόσον σθένουσι Μακεδόνες πρὸς τὴν ὑμῶν ἀπόνοιαν.
ἔσται ⟨δὲ⟩ καὶ ὁ δοθεὶς χρησμὸς ἀσφαλής· διελεύσομαι γὰρ ὑμῶν τὴν πόλιν
καὶ καταπεσεῖται. ἔρρωσθε σωφρονοῦντες· εἰ δὲ μή, δυστυχοῦντες.᾽

---

1 mirum ἡτοιμ., et παρεῖχον B′ Arm.: at *quicquid pensuros sese recepissent* Val. 2 ἀπενέγκωμεν A 3 αἴγυπτον A B′ cf. e. g. Syll. or. 193, 7. Oxy. P. I 75 (κατ᾽ Αἴ. C) 4 ὅλης τῆς B′ Arm. αὐτοὺς εἰπόντας A 6 *recepto omni exercitu* Val. 8 δισχιλίους B′ 9 διὰ τῆς π. (διελθεῖν) B′ Arm. quoque, πρὸς τὴν π. Byz. 11 ἐπὶ ἐδ. ὑ. ἔρχ. (γενήσεται B′) A B′: ἡ πόλις ὑποπίπτει τῇ ἀρχῇ Arm. *dann wird Tyrus vom tiefsten Grunde aus zerstört werden* Syr. 13 add. e B′ γενομ. B′ 14 λείπεται A (ἡττᾶται Arm.), correxi δὲ: τε A 15 εἰς Γάζαν add. B′ Arm. Byz. 16 γένη εἰς αὐτοὺς A (αὐτὸς Arm.) *ne legationem sui . . faciat* Val. 21 Ἀσ. Αἰγύπτου B′ 22 τὰ ἔθνη A: εἰς ἔθνη τῆς Συρίας Byz. Arm. ἐπὶ τὰ μέρη Συρίας B′. Fuitne πορευόμενος εἰς τὰ ἔ. τ. Σ.? ⟨ὑπήκοα⟩ ποιούμ. Rad. εἴσ. πρὸς ὑμᾶς B′ Val. 23 add. ex cett. πολιτεῖαι· ἀλλ᾽ ἐγὼ· ἀλλὰ τῆι A corr. ex Arm. 24 Supple τῇ τοποθεσίᾳ ἐν. Cf. πρῶτοι . . κατὰ χώραν· οὐ γὰρ τῶν Σύρων κρείττονας ὑμᾶς φημι Τυρίους, ἀλλ᾽ ὡς κειμένους ἐν αὐτῇ τῇ θύρᾳ τῆς Συρίας Byz. 26 *neque enim vos iuvabit oraculi illius iactatio* Val., unde ἀνωφελής Raabe. ἀληθινός Byz. 27 φθείρεσθε δυστ. Arm.

Ἀναγνόντες τὴν ἐπιστολὴν οἱ πρωτόβουλοι αὐτῶν κελεύουσι τοὺς 6
πρέσβεις μαστίζεσθαι λέγοντες· 'Ποῖός ἐστιν ὑμῶν Ἀλέξανδρος;' Τῶν δὲ λεγόντων μηδένα εἶναι ἀνασταυροῦσιν αὐτούς.

Ὁ δὲ Ἀλέξανδρος μαθὼν ἐζήτει, πῶς καταλάβῃ Τυρίους· ἄλογον 7
*γὰρ αὐτῶν ἡγεῖτο * . . ὁρᾷ δὲ κατὰ τοὺς ὕπνους ἕνα ⟨τῶν⟩ τοῦ Διονύσου προπόλων Σάτυρον ἐπιδιδόντα αὐτῷ τυρόν, αὐτὸν δὲ λαβόντα τοῖς ποσὶν*
αὐτὸν συμπατεῖν. ἀναστὰς δὲ διηγήσατό τινι ὀνειροπόλῳ· ὁ δὲ εἶπε· 8
'Βασιλεῦ Ἀλέξανδρε, σοὶ Τύρος γίνεται ὑποχείριος διὰ τό σε τυρὸν τοῖς ποσὶ καταπεπατηκέναι.' Οὕτως μὲν οὖν ἔκρινε τὸ ὄνειρον ὁ ὀνειροπόλος·
μετὰ δὲ ἡμέρας συμβαλὼν ὁ Ἀλέξανδρος τὸν πόλεμον Τυρίοις μετὰ τῶν 9
τριῶν κωμῶν τῶν ἔγγιστα † αὐτοῦ συμμαχομένων γενναίως [γὰρ] ἤνοιξαν τὰς πύλας αὐτῶν, καὶ κατασφάξαντες τοὺς παραφυλάσσοντας ἐξεπόρθησαν Τύρον καὶ ἐπ' ἔδαφος αὐτὴν κατήνεγκαν. καὶ μέχρι σήμερον διὰ τὸν Ἀλέξανδρον λέγεται 'Τύρου κακά'. τὰς δὲ τρεῖς κώμας τὰς συμμαχησαμένας αὐτῷ γενναίως εἰς μέτρον πόλεως ἀνεγράψατο καὶ Τρίπολιν ὠνόμασεν.

Καὶ κατέστησε Τύρου ἐπιμελητὴν τὸν τῆς Φοινίκης σατράπην καὶ 36
ἀνέζευξε τὴν πᾶσαν Συρίαν διοδεύων. ὑπήντησαν δὲ αὐτῷ πρέσβεις Δαρείου ἐπιστολὰς κομίζοντες καὶ σκῦτος καὶ σφαῖραν καὶ κιβωτόν· ἀνατυλίξας δὲ τὰς ἐπιστολὰς ὁ Ἀλέξανδρος ἀνεγίνωσκεν οὕτω περιεχούσας·

[Περὶ Τύρου ἐπιστολὴ Δαρείου.] 'Βασιλεὺς βασιλέων καὶ θεῶν συγγε- 2
νὴς σύνθρονός τε θεῷ Μίθρᾳ καὶ συνανατέλλων ἡλίῳ, ἐγὼ αὐτὸς θεὸς Δαρεῖος Ἀλεξάνδρῳ ἐμῷ θεράποντι τάδε προστάσσω καὶ κελεύω σοι συστρέφειν πρὸς τοὺς γονεῖς σου τοὺς ἐμοὺς δούλους ὄντας καὶ κοιτάζειν εἰς τοὺς κόλπους τῆς μητρός σου Ὀλυμπιάδος· ἔτι γὰρ ἡ ἡλικία σου παιδεύ-
εσθαι ὀφείλει καὶ τιθηνίζεσθαι. καὶ διὰ τοῦτο ἔπεμψά σοι σκῦτος καὶ 3
σφαῖραν καὶ χρυσίον, ἵνα ἄρῃς ὅτι ποτὲ βούλει· τὸ μὲν οὖν σκῦτος, ὅτι παιδεύεσθαι ὀφείλεις· τὴν δὲ σφαῖραν, ἵνα παίζῃς μετὰ τῶν συνηλικιωτῶν

---

1 *ὁ πρωτόβουλος* A 4 *ποίᾳ ὁδῷ εἰσέλθῃ κ. καταλ.* fere B′ Arm. *τυρίοις· ἔλεγον γὰρ αὐτῶι* A *ἀλογίαν γὰρ ἡγεῖτο* Arm. *τὴν ἧτταν* add. B′, unde *εὔλογον* probabile *διονύσσου πρὸ πολλῶν σάτυρος* A 6 *τύριον* A *αὐτὸν*: *τὸν* A 7 *αὐτοῦ συμπατεῖ* A *ὀνειροπολίτ(η)* A 8 *διὰ τὸν σατύριον* A duo subsunt oracula, unum ad satyrum pertineus (*σὰ Τύρος*) alterum ad caseum, cf. B′ Byz. (qui ita: *τὸ δὲ καὶ Σάτυρον αὐτὸν τυρίον σοι διδόναι καὶ σὲ καταπατήσαντα*) 9 *ὀνειροπολίτης* A 10 *ἡμέρας τρεῖς* B′ *πέντε* Byz. *τυρίους* A 11 possis sive *αὐτῆς* (Arm.) sive *αὐτῶν* sive *αὐτῷ* (C) nominativum absol. sive quo alio nomine vocari vult toleravi *νυκτὸς ἀνοίξαντες* B′ Arm. 14 *τύρος κατὰ* A *τὰ ἐν Τύρῳ κακά* B′ Byz. 15 *αὐτὸν* A *μητροπόλεα* A 17 *τυρίαν ὁδεύων* A (Arm.) *παρὰ τὴν Συρίαν ὥδευσε* B′ *δὲ*: *τε* A 18 *κιβ. μεστὸν χρυσοῦ* B′ Byz. Arm. *ἀνάτηλίσας* A 21 *θεοῦ* A *ἥλιος θεῶν* A, qui *θεὸς* post *αὐτὸς* om. ut Val. (cf. tamen B′ Arm.) 22 *καὶ* otiosum *συστέφειν* A 24 *σου*: *σε* A 26 *κιβ. χρυσίου* B′ Byz. Arm. *αἱρήσῃ* (Arm.) vel *εὑρήσῃ* B *ὅτι ἔτι π.* B′ Arm. 27 *ὀφείλει* A

σου καὶ μὴ ἀγερώχως ἡλικίαν τοσούτων νέων ἀναπείθῃς, ὥσπερ ἀρχιληστὴς
τὰς πόλεις ἀναταράσσων. οὐδὲ γὰρ ἐὰν ἡ σύμπασα οἰκουμένη ἀνδρῶν εἰς 4
ἓν συνέλθῃ, δύναται καθαιρεθῆναι τὸ τῶν Περσῶν πλῆθος· τοσαῦτα γάρ
εἰσι στρατεύματα, ὅσα οὐδὲ ψάμμον μετρήσει τις ἀριθμῶν, χρυσὸς δὲ καὶ
ἄργυρος, ὥστε πάντα τὰ πεδία τῆς γῆς καταστρῶσαι. διὰ τοῦτο ἔπεμψά 5
σοι κιβωτὸν μεστὴν χρυσίου, ἵνα ἐὰν μὴ ἔχῃς πῶς συστρέψῃς ἐπίδοσιν δῷς
τοῖς ἑαυτοῦ συλλησταῖς, ὅπως ἕκαστος αὐτῶν σχῇ ἀνασωθῆναι εἰς τὴν
ἰδίαν πατρίδα. εἰ δὲ μὴ πεισθῇς τοῖς κελευομένοις ὑπ᾿ ἐμοῦ, ἐκπέμψω
καταδίκους συλληψομένους σε· οὐ γὰρ οὕτως εὐτυχήσεις, ὥστε ⟨μὴ⟩ ὑπ᾿
ἐμῶν στρατιωτῶν ⟨συλληφθῆναι, καὶ⟩ συλληφθεὶς οὐχ ὡς Φιλίππου παῖς
παιδευθήσῃ, ἀλλ᾿ ὡς ἀποστάτης ⟨καὶ⟩ ἀρχιληστὴς ἀνασταυρωθήσῃ.᾿

Οὕτως ἀναγινώσκοντος Ἀλεξάνδρου ἐδειλαίνοντο τὰ στρατεύματα. 37
νοήσας δὲ ὁ Ἀλέξανδρος τὴν δειλίαν αὐτῶν εἶπεν· ‘Ἄνδρες Μακεδόνες, 2
τί ἐταράχθητε ἐπὶ τοῖς ἐγγεγραμμένοις ὡς ἀληθινὴν αὐτοῦ δύναμιν ἐχόντων
τῶν γραμμάτων; Δαρεῖος κομπάζων ταῦτά μοι γράφει, ἀνόμοιος ὢν τοῖς
ἐγγεγραμμένοις. καὶ γάρ τινες τῶν κυνῶν ἀδυναμοῦντες τῇ ἀλκῇ τοῦ
σώματος μάχεσθαι μέγα ὑλακτοῦσιν ὡς δυνάμενοι διὰ τοῦ ὑλαγμοῦ τὴν
ἔμφασιν τοῦ δύνασθαι ἐμφαίνειν. οὕτω καὶ Δαρεῖος ἔργοις μηδὲν δυνά- 3
μενος ἐν τοῖς γεγραμμένοις δοκεῖ τὶς εἶναι, ὥσπερ καὶ οἱ κύνες τοῖς ὑλά-
γμασιν. θώμεθα δὲ ἀληθῆ εἶναι τὰ γεγραμμένα· ἐφωταγωγήθημεν ἵνα
μάθωμεν, πρὸς τίνας ἔχομεν γενναίως πολεμεῖν, καὶ μὴ ἀπροσδόκητα
ληφθέντες ἡττηθῶμεν, ἀλλὰ γενναίως μαχησάμενοι στεφανωθῶμεν.᾿

Οὕτως εἰπὼν ὁ Ἀλέξανδρος ἐκέλευσεν ἐξαγκωνισθῆναι τοὺς γραμμα- 4
τηφόρους καὶ ἀπαχθέντας σταυρωθῆναι. τῶν δὲ φοβηθέντων καὶ λεγόν-
των· ‘Τί ἡμεῖς σοι χαλεπὸν ἐποιήσαμεν Ἀλέξανδρε, ὅτι κελεύεις ἡμᾶς
κακῶς ἀναιρεθῆναι;᾿ εἶπεν ὁ Ἀλέξανδρος· ‘Μέμφεσθε τὸν ἑαυτῶν βασιλέα
ἢ ἐμέ· Δαρεῖος γὰρ ἔπεμψε ταύτας τὰς ἐπιστολὰς οὐχ ὡς βασιλεῖ ἀλλ᾿ 5

---

1 τοσούτων cett.: τῶν A post ἀρχιλ. add. μετὰ σεαυτοῦ ἄγων B′ Arm. 4 ψάμμωι et ἀριθμῶι A oratio etiam aliter formari potest δέ: τε A 6 μετὴν A συστρ. etiam Arm. Val. Byz. legit, θρέψεις l. B′ ἐπίδοσιν: an Μακεδόσι? 8 πεισθεὶς A 9 καταδιώκοντας B′ *vindicatores qui te apprehendant* Leo (Syr.) facile ⟨τοὺς⟩ συλλ. εὐτυχήσει A 10 add. ex Arm. συλληφθήσηι A 11 ἀνασταυρώσηι A 14 ἀληθινῶν αὐτῶν ἠδυνάμην ἔχοντα A ἀληθῶν ὄντων καὶ δ. ἐχ. Arm. Possis servare αὐτῶν et del. τῶν γραμμάτων, at cf. B′ 16 κοινῶν A ἀδυνατοῦντες B′ (om. μάχεσθαι) 17 δυνάμεως A 19 ἐν τοῖς B′ 20 δὲ καὶ B′ Arm. συνοώμεθα A συνθώμεθα B′ Byz., corr. Raabe 21 ἔχωμεν A καὶ μὴ κτλ.: ἵνα μὴ ἡττηθέντες αἰσχυνθῶμεν B′ 22 λειφθέντες A[b] 26 post ἀναιρ. add. Arm. (B′) ἄγγελοί ἐσμεν Δαρείου· τί ἀναιρεῖς ἡμᾶς κακῶς τοὺς Τυρίους ζηλῶν; κτλ. 27 καὶ μὴ ἐμὲ B′ (Arm.) ἔπ. γὰρ ὑμᾶς Δ. μετὰ γραμμάτων τοιούτων B′

ὡς ἀρχιληστῇ. ἀναιρήσω ὑμᾶς ὡς ἐλθόντας πρὸς αὐθάδη ἄνθρωπον καὶ
οὐ βασιλέα.᾽ Οἱ δὲ εἶπον· ‛Δαρεῖος μὲν μὴ εἰδὼς ἔγραψεν, ἡμεῖς δὲ
ὁρῶμεν τὴν τηλικαύτην παράταξιν καὶ νοοῦμεν μέγιστον καὶ φρενήρη
βασιλέα. ὥστε ὡς υἱὸς βασιλέως Φιλίππου ἀποχάρισαι ἡμῖν τὸ ζῆν.᾽
Εἶπε δὲ ὁ Ἀλέξανδρος· ‛Οὐχ ὅτι ἐδειλάνθητε τὴν κόλασιν καὶ ἱκετεύετε, 6
τοῦτο ὑμᾶς ἀπολύω· οὐδὲ γὰρ προθέσεώς εἰμι τοῦ ὑμᾶς κολάσαι, ἀλλ᾽
ἐνδείξασθαι Ἕλληνος βασιλέως τὴν διαφορὰν καὶ βαρβάρου τυράννου. ὥστε
μηδὲν προσδοκᾶτε ὑπ᾽ ἐμοῦ παθεῖν κακόν· βασιλεὺς γὰρ ἀγγέλους οὐ
κτείνει.᾽
Οὕτως εἰπὼν ὁ Ἀλέξανδρος ἐκέλευσε τοῖς αὐτοῦ παράταξιν δείπνου 7
γενέσθαι καὶ συναναλιθεὶς αὐτοῖς εὐφραίνεται. τινῶν δὲ γραμματηφόρων
βουλομένων λέγειν, πῶς ἐνέδρᾳ λάβῃ Δαρεῖον ⟨μὴ⟩ ποιήσας πρὸς αὐτὸν
πόλεμον, εἶπεν ὁ Ἀλέξανδρος· ‛Μηδέν μοι λέγετε· εἰ μὴ γὰρ ἐπορεύεσθε 8
πρὸς Δαρεῖον, ἐμάνθανον ἄν. ἐπεὶ δὲ πορεύεσθε, οὐ θέλω μαθεῖν, μή
τις ἐξ ὑμῶν διαβάλλῃ Δαρείῳ τὰ εἰρημένα καὶ παραίτιος ὑμῖν κολάσεως
γένωμαι ἐγώ, παρασχόμενος ὑμῖν παρ᾽ ἐμοῦ μὴ κολασθῆναι.᾽ Ἐπὶ τούτοις
ἐτίμησαν οἱ σατράπαι τὸν Ἀλέξανδρον καὶ οἱ γραμματηφόροι.

Καὶ μεθ᾽ ἡμέραν ὁ Ἀλέξανδρος γράφει ἐπιστολὴν Δαρείῳ καὶ ἀναγινώσκει 38
λάθρᾳ τῶν γραμματηφόρων τοῖς ἑαυτοῦ σατράπαις οὕτως· [Ἐπιστολὴ Ἀλεξάν-
δρου Δαρείῳ.] ‛Βασιλεὺς Ἀλέξανδρος πατρὸς Φιλίππου καὶ μητρὸς Ὀλυμπιάδος 2
βασιλεῖ βασιλέων καὶ συνθρόνῳ ἡλίου θεοῦ μεγίστου καὶ ἐκγόνῳ θεῶν καὶ
συνανατέλλοντι ἡλίῳ, μεγάλῳ βασιλεῖ Περσῶν Δαρείῳ χαίρειν. αἰσχρόν 3
ἐστι τὸν τηλικοῦτον βασιλέα Δαρεῖον καὶ τηλικαύτῃ δυνάμει ἐπαιρόμενον,
ὄντα δὲ καὶ σύνθρονον τῶν θεῶν ὑπὸ ταπεινὴν δουλείαν πεσεῖν ἀνθρώπῳ
τινί ποτε Ἀλεξάνδρῳ. αἱ γὰρ τῶν θεῶν ὀνομασίαι εἰς ἀνθρώπους χωροῦσαι
⟨οὐ⟩ μεγάλην δύναμιν ἢ φρόνησιν παρέχουσιν, ἀλλὰ μᾶλλον ἀγανάκτησιν,

1 ἀναιρείσθω ὑμῶν A   τοίνυν ὑμᾶς B′   2 εἰ καὶ (item Arm.) Δ. μηδὲν ἰδὼν B′   4 ὡς βασιλεὺς τοίνυν αὐτὸς καὶ βασιλέως τέκνον Φιλ. Byz. βασ. ὡς υἱὸν Ἄμμωνος καὶ βασιλέως Φιλίππου. δεόμεθα τῆς σῆς ἀνδρείας, ἵνα χαρίσῃ Arm. (cf. B′)   5 δέ: καὶ A   οὐχ ὅτι A: νῦν B′ Arm.   ἱκ. τοῦ μὴ ἀποθανεῖν B′ Arm.   6 τούτου A διὰ τοῦτο B′   8 γὰρ: κατὰ τὸν νόμον add. Arm.   10 δεῖπνον A. At debebat παρασκευήν: an ταῖς αὐ. παρατάξεσιν?   11 τῶν δὲ γρ. B′ καὶ νικηθέντες πότῳ οἱ ἄγγελοι Arm.   12 add. ex Arm.   13 εἰ μὴ γὰρ etiam B′   14 ἂν παρ᾽ ὑμῶν B′ Arm.   ἐπεὶ cett.: εἰ A   δὲ πρὸς αὐτὸν B′ Arm.   16 possis ἐγὼ ὁ π.   ὑμῶν παρ᾽ ἐμοὶ A   17 οἱ σατράπαι om. B′ στρατιῶται Müll. (cf. l. 19)   18 ἡμε′ A ἡμέρας τρεῖς B′ ἐς αὔριον Byz. ἡμέραν μίαν Arm. *alio dio* Leo Syr.   19 τοῖς ἰδίοις στρατεύμασι B′   21 συνθρ. θεῶν καὶ συνανατ. (om. cett.) B′   μεγίστου A: Μίθρου Arm. Val. (infra συνεκλάμποντι ἡλίῳ Μίθρᾳ Byz.)   ἐγγόνωι A   26 add. ex Arm.   ἀγάλιν διμάμην ἢ φρόνεσιν παρέχοντι A (possis παρέχονται). δύν. καὶ φρ. αὐτοῖς παρ. πῶς γὰρ τῶν ἀθανάτων (p. 43, 1) B′   ἀγανακτήσωσιν A (Arm.), correxi

ὅτι εἰς φθαρτὰ σώματα ἀθανάτων ὀνόματα κατοικεῖ. ὥστε κατεγνώσθης 4
ἤδη παρ' ἐμοῦ ὡς μηδὲν δυνάμενος, ἀλλὰ καὶ τῶν θεῶν ὀνομασίαις ἑαυτὸν
περικοσμῶν καὶ τὰς ἐκείνων οὐρανίας δυνάμεις ἐπὶ γῆς σεαυτῷ περιτιθείς.
ἐγὼ γὰρ ἔρχομαι πρός σε ὡς πρὸς θνητὸν ⟨θνητὸς⟩ καὶ αὐτὸς ὤν· ἡ δὲ
ῥοπὴ τῆς νίκης ἐκ τῆς ἄνω προνοίας γίνεται. τί δὲ καὶ γράφεις ἡμῖν 5
τοσοῦτον χρυσόν σε καὶ ἄργυρον κεκτῆσθαι; ἵνα μαθόντες ἡμεῖς γενναιό-
τερόν σοι πολεμήσωμεν, ὅπως τὰ σὰ ἡμέτερα γενήσονται; ἐγὼ μὲν οὖν 6
ἐάν σε ἡττήσω, περίφημος ἔσομαι καὶ μέγας βασιλεὺς παρὰ βαρβάροις καὶ
Ἕλλησιν, ὅτι τὸν τηλικοῦτον βασιλέα Περσῶν Δαρεῖον ἀνεῖλον· σὺ δ' ἐμὲ
ἐὰν ἡττήσῃς, οὐδὲν ἔπραξας γενναῖον, λῃστὴν ἡττήσας καθώς μοι ἔγραψας
σύ, ἐγὼ δὲ σὲ βασιλέα Δαρεῖον. ἀλλ' ἔπεμψάς μοι σκῦτος καὶ σφαῖραν 7
καὶ κιβωτὸν χρυσίου. σὺ μὲν ἐμοὶ ταῦτα ἔπεμψας χλευαζόμενος, ἐγὼ
δὲ αὐτὰ ὡς ἀγαθὰ σημεῖα ἀπεδεξάμην. καὶ τὸ μὲν σκῦτος ἔλαβον, ἵνα
ταῖς ἐμαῖς λόγχαις καὶ ὅπλοις δείρω τοὺς βαρβάρους καὶ ταῖς ἐμαῖς χερσὶν
εἰς δουλείαν ὑποτάξω. τῇ δὲ σφαίρᾳ ἐσήμανάς μοι, ὡς τοῦ κόσμου περι-
κρατήσω· σφαιροειδὴς γὰρ καὶ στρογγύλος ὑπάρχων ὁ κόσμος. τὴν δὲ
κιβωτὸν τοῦ χρυσίου μέγα μοι σημεῖον ἔπεμψας, σεαυτῷ δὲ ὑποταγὴν
ἐμήνυσας· ἡττηθεὶς γὰρ ὑπ' ἐμοῦ φόρους μοι χορηγήσεις.'

Οὕτως ἀναγνοὺς τοῖς στρατεύμασι ⟨καὶ⟩ σφραγίσας ἀναδέδωκε τοῖς 39
γραμματηφόροις καὶ τὸ χρυσίον αὐτοῖς ἐχαρίσατο, ὃ ἔπεμψεν αὐτῷ Δαρεῖος·
οἱ δὲ ἀποδεξάμενοι τῆς φρονήσεως καὶ μεγαλοφροσύνης τοῦ Ἀλεξάνδρου
ἀπέστησαν. αὐτὸς δὲ τὰ στρατεύματα παραλαβὼν τὴν Συρίαν ὅλην ὑπο- 2
τάξας ἐπορεύετο εἰς τὴν Ἀσίαν. λαβὼν δὲ τὰ γράμματα ὁ Δαρεῖος καὶ
ἐπὶ τούτοις κινηθεὶς γράφει ἐπιστολὴν τοῖς ὑπ' αὐτὸν σατράπαις οὕτως·

'Βασιλεὺς Δαρεῖος τοῖς ἐπέκεινα τοῦ Ταύρου ⟨σατράπαις⟩ χαίρειν. 3
ἀπαγγέλλουσί μοι ἀναστάντα Ἀλέξανδρον Φιλίππου παῖδα μαινόμενον δια-
βάντα εἰς τὴν Ἀσίαν πορθεῖν ἐμὴν χώραν. ὑμεῖς οὖν συλλαβόντες αὐτὸν 4
ἀγάγετέ μοι μηδὲν ἐργασάμενοι κακὸν ⟨τῷ⟩ ἐκείνου σώματι. ἐγὼ γὰρ ἐκδύσας
αὐτὸν τὴν πορφύραν καὶ πληγὰς δοὺς ἀποστελῶ αὐτὸν εἰς τὴν αὐτοῦ
πατρίδα Μακεδονίαν πρὸς τὴν αὐτοῦ μητέρα Ὀλυμπιάδα, δοὺς κρόταλα

---

1 ὅτι A: πῶς B′ Arm. fort. melius ἀθανατῶν Arm. B′ Byz.: ἀνθρώπων A ἰδοὺ δὴ καὶ ἐν τούτῳ κατεγν. B′ Arm. 2 ἐμοὶ A 3 σεαυτὸν A 4 πολεμῶν ὡς πρὸς Arm. cf. B′ ὥσπερ θνητῶι καὶ A, suppl. ex Arm. Syr. Leone (*adero ut mortalis mortalem violentiam experturus* Val.) 7 γενήσωνται A οὖν: ὡς A 11 σύ ex εαι (?) A ἐγὼ — Δαρεῖον verba abundantia etiam in B′ Arm. (sine σὲ) ἐξέπεμψας A B′ Byz. σκῦτον A 12 ἔπ. ἐγὼ δὲ αὐτὰ ὡς χλ. ἀγαθὰ A 14 ταῖς — ὅπλοις inepta φρεσὶν A 15 τὴν δὲ σφαῖραν A 16 στρ. τυγχάνει B′ Arm. 17 δὲ: γὰρ B′ possis σεαυτῷ ὑπ. μηνύσας 20 τῶι χρυσίωι A 22 αὐτὸς — 23 Ἀσίαν om. B′ Syr. καὶ τὴν Arm. 25 add. ex cett. (στρατηγοῖς B′), om. etiam Arm. 26 μαινόμενος A, om. Arm. μαιν. — χώραν om. B′ 28 σώματι etiam (B′) ἐνδύσας Leo Syr. Val. 29 ἀποστέλλων A

καὶ ἀστραγάλους, οἷς Μακεδόνων παῖδες παίζουσι, καὶ συναποστελῶ αὐτῷ
ἄνδρα Πέρσην παιδαγωγὸν σωφροσύνης διδάσκαλον σκῦτος ἔχοντα, ὃς οὐκ
ἐπιτρέψει αὐτῷ ἀνδρὸς φρόνημα ἔχειν πρὸ τοῦ ἄνδρα γενέσθαι. τριήρεις 5
δὲ ἃς ἤγαγε σὺν τοῖς ἀνδράσιν εἰς βυθὸν θαλάσσης καταποντίσατε· στρα-
τιώτας δὲ τοὺς κακῶς ἀκολουθήσαντας αὐτῷ ἀναπέμψατε εἰς ἐρυθρὰν
θάλασσαν οἰκῆσαι· ἵππους δὲ καὶ σκευοφόρα παρ᾽ ἑαυτοῖς ἔχετε καὶ
φίλοις δίδοτε.᾽

Ἔγραψαν δὲ καὶ οἱ ἀπ᾽ ἐκείνων τῶν τόπων σατράπαι καὶ διεπέμψαντο, 6
ἧς ἐστιν ἀντίγραφον τόδε· [Ἐπιστολὴ Ὑδάσπεος καὶ Σπινθῆρος Δαρείῳ.] 7
‛Ὑδάσπης καὶ Σπινθὴρ θεῷ Δαρείῳ χαίρειν. ἔθνους τοσούτου ἐπελθόντος
τῇ χώρᾳ θαυμάζομεν πῶς σε λανθάνει. ἐπέμψαμεν δὲ σοι καὶ οὓς εὕρομεν
παρ᾽ ἡμῖν ἐκ τοῦ αὐτοῦ ἔθνους ῥεμβομένους ἄνδρας πέντε σιδήρῳ καὶ
κόραξι δεδεμένους δέει ⟨τοῦ⟩ ἐξετάσαι σοῦ πρότερον. καλῶς οὖν ποιήσεις
ἐν τάχει παραγενάμενος [ἐν τάχει] μετὰ δυνάμεως πλείστης.᾽

Λαβὼν δὲ ὁ Δαρεῖος καὶ ἀναγνοὺς ἔγραψεν αὐτοῖς τάδε· [Ἐπιστολὴ 8
Δαρείου σατράπαις.] ‛Βασιλεὺς βασιλέων θεὸς μέγας Δαρεῖος Ὑδάσπῃ καὶ
Σπινθῆρι καὶ τοῖς ὑπ᾽ ἐμὲ σατράπαις χαίρειν. παρ᾽ ἐμοῦ μηδέποτε ἔχετε
ἐλπίδα τινά, ἐὰν μεταβῆτε τῆς χώρας καὶ τῶν ἀπολωλότων αἰχμαλώτων
. . . τοῦτο δὲ ἐπίσημον τῆς ἀνδρείας ὑμῶν ἐπιδείξατε. ποταπὸς ἐπεπήδησε 9
θὴρ καὶ ἐθορύβησεν ὑμᾶς; οἱ δυνάμενοι κεραυνὸν ἀποσβέσαι ἀνδρὸς ἀγεννοῦς
βρόμον οὐχ ὑπηνέγκατε; τί ἔχετε λέγειν; ὅτι τέθνηκέ τις ἐξ ὑμῶν ἐν παρα-
τάξει, τέτρωται δέ τις βαλλόμενος; ἀλλὰ αἰχμάλωτος ἐλήφθη παραγενό-
μενος; τί βουλεύσομαι περὶ ὑμῶν, ἐπεὶ τὴν ἐμὴν βασιλείαν κατῃσχύνατε
ἄνεσιν δεδωκότες ἀνδρὶ λῃστῇ;᾽

Πυθόμενος δὲ τὸν Ἀλέξανδρον πλησίον ὄντα ἐξ ἴσου κατεστρατοπέ- 40

1 ἀστράγαλα (item Byz.) οἷα A αὐτὸν A 3 ἐπιστρέψει A πρὸ τοῦ: πρῶτον A καταπ., στρατηγοὺς δὲ τοὺς συνακολουθήσαντας αὐτῷ σιδηρώσαντες ἀναπέμψατε ἡμῖν add. B′ (Byz.) *milites vero cunctos ferro vinctos* (item B′ Arm.) *ad rubri maris ulteriora transduci* Val. 6 σκυόφορα παρ᾽ ἑαυτοὺς A 7 διδόαται A 8 facile ἐπ᾽ ἐκ. et ⟨ἐπιστολήν⟩, ἧς 9 ἀντίγραφα τάδε A ὑδάσπηρος καὶ σπινχθῆρος A 10 *Hystaspes* Val. *Vishtasp* Arm. Ἰάσπης Byz. (Hyst. Mediae satrapa Chares fr. 17) Σπινθὴρ Byz. Val.: σπινχθὴρ A *Spandiatar* Arm. Σπιθριδάτης Nöldeke; cf. II 10 ἔθνος τοσοῦτον A, et possis ἐπελθὸν (at cf. B′) 11 λανθ. μέχρι τῆς δεῦρο B′ Arm. 12 ε′ A Val. ἐννέα Arm. 13 δεῖ A (cf. cett.) 14 δυν. πολλῆς, ἵνα μὴ λάφυρα γενώμεθα B′ Byz. 15 τάδε A (ο supra) 17 σπινχθήρῃ A καὶ τοῖς ἄλλοις τοῖς ὑμετέροις στρατηγοῖς Arm. 17 ἔχοντες A 19 lac. etiam in B′ πάλιν κρατήσητε Arm. (ubi recte μὴ add. Raabe). λόγον προσαπαιτούμενοι Byz. dele δὲ aut scr. ἐπεδείξατε cum B′ καὶ τὸ ἐπ. τ. ἀ. ἐπιδείξητε Arm. 20 οἱ: οὐ A 22 ἀλλὰ A: ἢ Müll. an παρατασσόμενος? 23 an βουλεύσωμαι? ἄνεσιν A: πρόφασιν B′ Arm. πρόβασιν Raabe 25 ἐξ ἴσου A Byz.: om. B′ Arm. (hic tamen ἀντικατεστρ. κατ᾽ αὐτὸν)

δευσεν ἐν τῷ Πινάρῳ ποταμῷ καὶ γράψας ἐπιστολὴν ἀπέστειλεν Ἀλεξάνδρῳ
περιέχουσαν οὕτως· [Ἐπιστολὴ Δαρείου Ἀλεξάνδρῳ.] 'Βασιλεὺς βασιλέων 2
θεὸς μέγας Δαρεῖος καὶ ἐθνῶν ρκ' κύριος Ἀλεξάνδρῳ τάδε λέγει. σὲ μόνον
ἔλαθε τῶν ἐπὶ γῆς τὸ Δαρείου ὄνομα, ὅπερ καὶ οἱ θεοὶ τετιμήκασι καὶ
σύνθρονον ἑαυτῶν ἔκριναν. καὶ ἐτόλμησας θάλασσαν διαπερᾶσαι καὶ οὐ 3
μακάριον ἡγήσω λανθάνοντά σε βασιλεύειν Μακεδονίας χωρὶς τῆς ἐμῆς
ταγῆς, ἀλλ' ἀδέσποτον χώραν εὑρὼν σεαυτὸν βασιλέα ἀπέδειξας, συλλέξας
ἑαυτῷ ἄνδρας ὁμοίους σου ἀνελπίστους, καὶ ἐπεστρατεύσω πόλεσιν Ἕλλησιν
ἀπειροπολέμοις καὶ εὐλαβηθείσαις τὸ δεσπόζεσθαι, ἃς ἐγὼ περισσὰς ἡγοῦμαι
ὡς ἀπερριμμένας καὶ οὐκ ἐπεζήτησα φόρους παρ' ἐκείνων. πείθῃ οὖν 4
καὶ ἡμᾶς τοιούτους ἔσεσθαι ὁποίους ὑπολαμβάνεις; καί⟨τοι⟩ τόπους οὓς
σὺ εἴληφας οὐ καυχήσῃ ἔχων. κάκιστα οὖν φρονήσας ὤφειλές σου τὴν
ἄνοιαν διορθώσασθαι καὶ ἐπ' ἐμὲ τὸν κύριον λάτρις ἐπανελθεῖν καὶ ⟨μὴ⟩
ἐπισωρεύειν ληστὰς ⟨καὶ⟩ μητροκτόνους. ἀλλ' οὖν γε μέχρι τούτου ὡς 5
θεὸς ὤφειλον ἀνθρώποις συγγνωμονεῖν· ἐπεὶ δὲ καὶ ἐς τοῦτό με ἧξας
ὥστε καὶ ἐπιστολὴν παρὰ Δαρείου ἐπιζητεῖν, ἔπεμψά σοι ἐλθεῖν καὶ
προσκυνεῖν θεῷ Δαρείῳ. ἐὰν δὲ τῆς ἄλλης ἀνοίας ἀντέχῃ, κολάσομαί σε
θανάτῳ ἀνεκλαλήτῳ, χείρονα δέ σου καὶ οἱ σύν ⟨σοι⟩ παθήσονται οἱ μή
σοι περιθέντες σωφροσύνην. ὄμνυμι δέ σοι Δία μέγιστον πατέρα μὴ
μνησικακῆσαι ἐφ' οἷς ἔπραξας.'

Ταύτης δὲ τῆς ἐπιστολῆς ἀναγνωσθείσης Ἀλέξανδρος οὐκ ἐπτύρη τοῖς 41
κομπηγόροις λόγοις, ἀλλὰ παρωξύνθη καὶ ὥρμησεν ἐπὶ τὸν πόλεμον διὰ
τῆς Ἀραβίας. οἱ δὲ περὶ τὸν Δαρεῖον ὁρῶντες τὸν Ἀλέξανδρον ἐπ' αὐτοὺς 2
ἐπάγοντα τὴν στρατείαν, οἰόμενοι τοῖς δρεπανηφόροις ἅρμασι κατανικᾶν,

1 πρὸς τῷ B' τινάγρωι A Πιναρίῳ B' Πινδάρῳ Arm. Byz. *Straga* Leo Syr. 3 ρκ' A Val. om. Arm. B' πάντων C 4 τὸ: τοῦ A 5 an ἑαυτοῖς? 6 μακάριος A χώρας τῆς ἐμῆς οὐ ταγῇ A, corr. Müll. ex cett. 7 ἀποδείξεις A 9 εὐλαβηθεὶς εἰς τὸ A ἃς ἐγὼ εὐλαβηθεὶς ἀεὶ δεσπόζεσθαι B' ὧν ἀεὶ διὰ τοὺς εὐσεβεῖς ἐδεσπόζετε Arm. (quod corr. Raabe in ὧν ἀεὶ εὐλαβηθεὶς οὐκ ἐδέσποζον). *quos Graecos fere ut inutiles nec necessarios Persarum regna non quaerunt* Val. ἡγούμην B' recte 10 ἀπορεριμμένας A Byz. καὶ σὺ ἐπεζήτησας φόρους παρ' αὐτῶν (haec etiam Arm.) λήψεσθαι ὡς ἐρανιζόμενος B' ἐκείνωι· τίθει A 11 ὑμᾶς A haec omnia misere decurtata ὁποῖος εἶ B' Val. 12 συνείληφας, corr. Rad. ἔχειν B' ὤφειλέν σοι A 13 ἄγνοιαν A πρὸς ἐμὲ B' 14 ἐπισ. πλείστας μητροπόλεις A πλείστην μῆνιν ἐπὶ τῶν σῶν Arm. ληστρικὰς δυνάμεις B' 15 ὤφειλεν A ἧξας A ἐπεὶ δ' ἡ τύχη δυστυχῶς εἰσήγαγε καὶ τοῦτο, πρέσβεις λαβεῖν καὶ γράμματα καὶ σὲ παρὰ Δαρείου Byz. (Arm.) *quia fuisti dignus a me recipere epistolas* Leo. Fuitne ἐπεὶ δὲ καὶ ἠξίωσας ἐπιστ. π. Δ. ἐ.? 16 ἔγραψα B' (Byz.) Arm. 17 ἐννοίας A 18 οἱ συμπαθήσονται A 19 σωφροσύνηι A δῖαν A καὶ ἐμὸν πατέρα B' Arm. *et parentes meos* Val. 22 ἀλλὰ: hic nonnulla interpolavit B' διὰ τῆς Ἀραβίας etiam Byz. Arm. (addens εἰς πεδίον ἀντετάξατο Δαρείῳ) Val.

φθάσαντες τοὺς πλαγίους τόπους κατείληφαν. καὶ ἐξ ἐναντίας ἔστησαν
τὰ ἅρματα καὶ ὅλην τὴν πολεμικὴν παράταξιν. † καὶ διῆγεν τῆς φάλαγγος 3
οὐκ ἐφῆκεν οὐδὲ διιπεῦσαι δι᾽ αὐτῆς οὐθ᾽ ὑποστρέψαι πάλιν. ἀλλὰ τὸ
μὲν πολὺ τῶν ἁρμάτων διεφθείρετο πάντοθεν ἐξακοντιζομένων τῶν ἀνα-
βατῶν, τὰ δὲ καὶ διασκεδασθέντα. παρὼν δὲ ἐπὶ τὸ λοιπὸν μέρος Ἀλέ- 4
ξανδρος καὶ ποιήσας ἐξ ἴσου τὸ τῶν Περσῶν εὐώνυμον ἐπὶ τὸ δεξιὸν
κέρας (ἐν τούτῳ γὰρ συμβεβήκει τὸν Ἀλέξανδρον εἶναι παρατεταγμένον) καὶ
ἀναβὰς αὐτὸς ἐπὶ τὸν ἵππον ⟨ἐκέλευσε⟩ σημαίνειν τοὺς σαλπιστὰς ⟨τὸ⟩
πολεμικὸν μέλος· ὁμοῦ ⟨δὲ τῷ τοὺς⟩ σαλπιστὰς μηνύειν κραυγῇ συμπο-
ρευομένων τῶν στρατευμάτων καὶ πολλὴ μάχη ἐγένετο. οἱ δὲ μετὰ πολλῆς 5
ἀγωνίας ἐμάχοντο πολὺν χρόνον, ἄκροις τοῖς κέρασιν ἐμβαλόντες εὐρώστως
ἀντέκειντο, τοῖς δόρασιν ὑπ᾽ ἀλλήλων τυπτόμενοι διεβιβάζοντο ἐνταῦθα
⟨καὶ ἐνταῦθα⟩. ἑκάτεροι δὲ τὸ νῖκος ποιησάμενοι ἐχωρίζοντο. οἱ δὲ περὶ 6
τὸν Ἀλέξανδρον ἐξώθουν τοὺς περὶ τὸν Δαρεῖον καὶ κατὰ κράτος ἔθραυον,
ταρασσόμενοι καὶ περιπίπτοντες ἀλλήλοις διὰ τὸ πλῆθος τοῦ στρατεύματος·
πολλὰ μὲν ὑφ᾽ ἑαυτῶν ἔπασχον, πολλὰ δὲ ὑπὸ τῶν πολεμίων. οὐδὲν δὲ 7
ἦν ὁρᾶν πλὴν ἵππων κειμένων χαμαὶ ἀνδρῶν τε ἀνῃρημένων, καὶ οὐκέτι
ἦν διακρῖναι οὔτε Πέρσην τοξότην οὔτε Μακεδόνα στρατιώτην οὔτε ἱππέα
ὑπὸ τοῦ πολλοῦ κονιορτοῦ· οὔτε γὰρ ἀὴρ ἐφαίνετο οὔτε γῆ ἐθεωρεῖτο ὑπὸ
τῶν λύθρων, καὶ αὐτὸς ὁ ἥλιος συμφοράζων τοῖς γινομένοις μὴ κρίνας
θεωρεῖν τὰ τοσαῦτα μιάσματα συννεφὴς ἐγένετο. τροπῆς δὲ ἰσχυρᾶς γενο- 8

1 an πλατεῖς? *in aequore . . . aciem extendit* (de Alexandro), at de curribus: *in latere conlocantur* Val. (cf. B′ Arm.) ἔστησαν cett.: ἔπεσον A καθ᾽ ὃ μέρος ἤκουον Ἀλέξανδρον vel sim. add. B′ 2 an καὶ διάττειν? καὶ δὴ σταθέντων ἐπὶ συμβολῇ τοῦ πολέμου ἑκατέρων τῶν μερῶν οὐ συνεχώρησεν Ἀλ. οὔτε ἐντὸς τῇ φάλαγγι διακόψαι αὐτοὺς B′ τῆι φάλαγγι οὐκ ἀφῆκεν A dativum l. etiam Arm. B′ οὐ συνεχώρησε B′ *sie erlaubten nicht* Arm. 3 οὐδὲ ἵππευσαν δι᾽ αὐτὴν· οὐκ υποστρέψαι A διϊππεῦσαι B′, contra Val.: *incurrentibus curribus per acies phalangasque locum transitui pandi praedicit* (res ad proelium Arbelense pertinens: Curt. 4, 13, 33) ἀλλ᾽ ἄγωμεν πολὺ A, corr. Müll. ex B′ 4 διαφέροιτο A, corr. ex B′ ἐξακοντιζόμενον τὸν (των A[a]) ἀναβατὸν A 5 διασκευασθέντα A fuitne διασκ. ⟨ἀπώλετο⟩? καὶ διεσκεδάσθη B′ (ἔστι δ᾽ ἃ. κ. δ. Arm.) παρὼν — 7 παρατ. om. B′ τῶν λοιπῶν μέσος A 6 ἐξ ἴσου cf. p. 44, 25 debebat τῷ τῶν Π. εὐωνύμῳ τὸ δεξ. κ. 8 ἀναβάντα αὐτὸν ἐπὶ τῶν ἵππων A ἵππον Βουκέφαλον Arm. 9 ὅμως ὡς σαλπίσαντες A ὁμοῦ δὲ οἱ σ. ἐμήνυον καὶ Müll. κραυγὴν A 11 ἀκορέστως κόλασιν ἐμβάλοντες εὐρώστου A, corr. Müll. ex B′ 12 ἀντέκ. ἀλλήλοις τοῖς δόρ. καὶ ἐνταῦθα ἑκάτεροι Arm. ἐνταῦθα δὲ ἐκκατέρων τὸ νίκος A 13 add. ex B′ 14 τοῖς περὶ A ἔθραυτον A, corr. e B′ (possis ἔθραττον) ἔθρ. αὐτοὺς πλησσομένους καὶ περιπίπτοντας ἀλλήλοις B′ 15 interpunctio incerta τῶν στρατευμάτων B′ Arm. 17 τε: δὲ A 18 οὔτε Πέρσας οὔτε Μακεδόνας οὔτε στρατηγὸν οὔτε σατράπην οὔτε ἱππέα οὔτε πεζὸν Arm. (B′) δοξότην A 19 ἀνὴρ A οὐρανὸς Arm. 20 συμφοράζων: ἐφορῶν A συμπαθήσας B′ μηκύνας A, corr. ex B′ 21 συνεφής A ἀνατροπῆς A

μένης εἰς φυγὴν ὥρμησαν οἱ Πέρσαι, μετὰ τούτων δὲ ὁ Ἀμύντας ὁ Ἀντιόχου,
ὃς πεφεύγει πρὸς Δαρεῖον, ἐν τοῖς ἔμπροσθεν χρόνοις Μακεδὼν ⟨ὤν⟩.
ἐβοήθει γὰρ καὶ τὸ τῆς ὥρας· ἤδη γὰρ τὸ πρὸς ἑσπέραν ἦν. Δαρεῖος 9
μέντοι τὸ ἅρμα φοβηθείς, ὅτι πόρρωθεν εὐεπίγνωστον ἦν, ἔργῳ νυκτὸς
ἤλασεν εἰς τόπον στενὸν καὶ τὸ μὲν ἅρμα καταλείψας ἵππον ἀναβὰς ἔφυγεν.
Ἀλέξανδρος δὲ φιλοτιμούμενος Δαρεῖον καταλαμβάνειν ἐδίωκεν, ᾗ πού τις 10
ἔφραζε, καὶ τὸ μὲν ἅρμα αὐτοῦ καὶ τὰ τόξα καὶ τὴν μητέρα καὶ τὴν
γυναῖκα καὶ τὰ τέκνα σταδίους ξ′ ⟨διώξας κατέλαβεν· αὐτὸν δὲ τὸν Δαρεῖον
ἡ νὺξ⟩ διέσωσε, καὶ πρὸς τούτοις ἵππον ἔχων ἐκ διαδοχῆς νεοχμὸν ἔφυγεν.

Οἱ δὲ Μακεδόνες ἀνεχώρουν . . . ἐποιοῦντο ⟨τὸ⟩ τῶν Περσῶν στρατό- 11
πεδον· μέσης δὲ νυκτὸς γεναμένης καὶ ἐπὶ τῶν νεκρῶν ἐστρατοπέδευσαν.
Ἀλέξανδρος δὲ τὴν Δαρείου σκηνὴν καταλαβὼν παρελθὼν εἰς αὐτὴν ἐσκή-
νωσεν. ⟨κρατήσας δὲ τῶν ἐναντίων καὶ τηλικούτου ἀξιώματος καταξιωθεὶς 12
ὑπὸ τῆς ἄνω προνοίας οὐδὲν ἔπραξεν ὑπερήφανον, ἀλλὰ τοὺς ἀνδρωδεστάτους
καὶ εὐγενεῖς τῶν Περσῶν τετελευτηκότας ἐκέλευσε θάπτεσθαι· τὴν δὲ μητέρα
Δαρείου καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα μεθ᾽ ἑαυτοῦ ἤγαγεν ἐντίμως. ὡσαύ-
τως δὲ καὶ τοὺς λοιποὺς τῶν αἰχμαλώτων παραινέσας ἀνέψυξεν. τῶν δὲ 13
πεσόντων Μακεδόνων ἦν τὸ πλῆθος πεζοὶ πεντακόσιοι πεντήκοντα καὶ
ἱππεῖς ἑκατὸν ἑξήκοντα, τραυματισθέντες δὲ πλείους ἢ . . . τῶν δὲ βαρ-
βάρων ἐτελεύτησαν ιβ′ μύριοι· ἐλαφυραγώγησε δὲ χρυσοῦ τετρακισχίλια
τάλαντα.

Ὁ δὲ Δαρεῖος φυγὼν καὶ ἀνασωθεὶς ἐπεστράτευσε πλείους δυνάμεις 42
τῷ Ἀλεξάνδρῳ ἢ πρότερον. καὶ γράφει τοῖς ὑπ᾽ αὐτὸν ἔθνεσιν, ὅπως
μετὰ μεγάλης δυνάμεως παραγίνωνται πρὸς αὐτόν. μαθὼν δέ τις κατά- 2

χ
1 *ἀντιο* A i. e. *Ἀντιοχεύς* ut vid. (item B′ Arm.) *Antiochi filius* Val. cf. RE I 2007, 32   2 *πέφευγεν* A   *μακεδό* A   *ὢν τύραννος* B′   4 *μὲν τὸ γὰρ ἅρμα* A   *πόρρωθεν* scripsi (*μακρόθεν* Müll.): *ἔμπροσθεν* A Arm. (*Δαρ. ἀεὶ ἔμπροσθεν ἀπῄει* B′) cf. v. 2, *promptius* Val.   mire *ἔργῳ*, potuit *συνεργούσης τῆς ν.* (non opinor *ἐν χρῷ ν.*). *Δαρ. ἐργωδῶς φοβηθείς* B′   5 *ἀναλαβὼν* A *ἀναβαίνων* Müll. 6 *δαρείωι* A   *εἶπου* A *ὅπουπερ λέγει τις αὐτὸν εἶναι* Arm., om. cett.   8 *ϙξ′* Byz. suppl. ex B′ Arm.   9 melius ⟨*ἀεὶ*⟩ *νεοχμὸν*   *νεοχὸν* A   10 *ἀνεώρουν* A. corr. Müll. qui add. *καὶ λάφυρον*. *in castra Persica migravere* Val. (cf. Arm.), et possis *ἀν. πρὸς τὰ τ. Π. στρ.*   11 *τὴν νεκρὰν* A   13 in A extrema pag. vacua et adscr. (*λείπει*) *φύλλα β′* (ad p. 51, 21); suppl. ex B′ Arm.   14 *ὑπὸ τ. ἄ. πρ.* add. ex Arm.   15 *εὐγενῶς τετ. τ. Π.* BM   17 *παραινέσας* om. Arm.   *πεσ. Περσῶν ἦν τὸ πλῆθος πολὺ σφόδρα, τῶν δὲ* fere B′   18 *peditum septingentos* Val. 19 vulneratos plus *ϙξ′* Arm., inter *σν′* et *τν′* B′ *duo milia* Val. *πλείους διακοσίων* Byz.   20 *ιβ′ μύριοι* Arm. Val.: *δισμύριοι* B′ Byz.   21 *talenta quattuor milia* etiam Val. totidem captivos dicunt B′ Byz.   23 *τῷ Ἀλ. ἢ πρότ.* om. B′   24 *id tamen comperiens Al. ex hisce exploratoribus, qui in dicionem Macedonum devenissent* Val.

σκοπος Ἀλεξάνδρου συναθροίζοντα στρατὸν τὸν Δαρεῖον ἐπὶ τοῦ Εὐφράτου
ποταμοῦ καὶ τὰς παρεμβολὰς τῶν βαρβάρων τῶν ἐκεῖ, ἔγραψεν Ἀλεξάνδρῳ
περὶ τῶν ἐνεστώτων· καὶ ἀκούσας ταῦτα Ἀλέξανδρος γράφει Σκαμάνδρῳ
τῷ στρατηγῷ αὐτοῦ οὕτως·
ʻἈλέξανδρος βασιλεὺς Σκαμάνδρῳ τῷ ἐμῷ στρατηγῷ χαίρειν. τὰς 3
ὑπό σε φάλαγγας καὶ πᾶσαν δύναμιν ἔχων τάχιον παραγενοῦ πρὸς ἡμᾶς·
οὐ γὰρ μακρὰν λέγονται εἶναι οἱ βάρβαροι.ʼ
Αὐτὸς δὲ Ἀλέξανδρος ἀναλαβὼν ἣν εἶχε δύναμιν ἐπορεύθη εἰς τὴν 4
Ἀχαίαν· καὶ παραγενόμενος ἐκεῖ πολλὰς πόλεις ὑπέταξε, καὶ ἐκεῖθεν στρατιὰν
συλλέξας μυριάδων ιζʹ καὶ ὑπερπεράσας τὸν καλούμενον Ταῦρον κατα-
πήξας δόρυ μέγιστον εἰς τὴν γῆν εἶπεν· ʻΕἴ τις σθεναρὸς τῶν Ἑλλήνων 5
ἢ τῶν βαρβάρων ἢ τῶν ἄλλων βασιλέων βαστάσει τοῦτο τὸ δόρυ, ἑαυτῷ
χαλεπὸν σημεῖον ἕξει· ἡ γὰρ πόλις αὐτοῦ ἐκ βάθρων βασταχθήσεται.ʼ
Παραγίνεται οὖν εἰς τὴν Πιερίαν πόλιν τῆς Βεβρυκίας, ἔνθα ἦν ναὸς 6
καὶ ἄγαλμα τοῦ Ὀρφέως καὶ αἱ Πιερίδες Μοῦσαι καὶ τὰ θηρία αὐτῷ
παρεστῶτα. βλέποντος δὲ τοῦ Ἀλεξάνδρου εἰς τὸ ἄγαλμα τοῦ Ὀρφέως
ἵδρωσε τὸ ξόανον ἐν τῷ προσώπῳ καὶ ἐν ὅλῳ τῷ σώματι. τοῦ δὲ Ἀλε-
ξάνδρου ζητοῦντος, τί βούλεται τὸ σημεῖον τοῦτο, λέγει αὐτῷ Μελάμπους
ὁ σημειολύτης· ʻΚαμεῖν ἔχεις Ἀλέξανδρε βασιλεῦ μετὰ ἱδρώτων καὶ κόπων, 7
τὰ τῶν βαρβάρων ἔθνη καὶ τὰς τῶν Ἑλλήνων πόλεις καθυποτάσσων καὶ
διὰ θηρίων τὴν ὁδοιποπορίαν ποιούμενος, ὥσπερ ὁ Ὀρφεὺς λυρίζων καὶ
ᾄδων τοὺς Ἕλληνας ἔπεισε καὶ τοὺς βαρβάρους πρὸς ἔρωτα γλυκεῖ λόγῳ
ἔτρεψε καὶ τοὺς θῆρας ἡμέρωσεν.ʼ Ταῦτα ἀκούσας Ἀλέξανδρος ἐτίμησε 8
μεγάλως Μελάμπουν τὸν σημειολύτην.
Καὶ παραγίνεται εἰς Φρυγίαν καὶ εἰσελθὼν εἰς αὐτὴν Ἴλιον τὴν πόλιν 9
ἔθυσεν Ἕκτορι καὶ Ἀχιλλεῖ καὶ τοῖς ἄλλοις ἥρωσιν. praecipue tamen
Achillem veneratur ac rogat, uti sibi et ipse faveat et dona quae ferret
dignanter admittat; haec enim a sese non ut ab externo ac superstitioso,
verum ut consanguineo ac religioso dedicari:

hinc primus extat Aeacus Iovis proles 10
atque inde Peleus Pthiae regna possedit,
quo tu subortus inclyta cluis proles.

---

1 ἐπὶ — 2 ἐκεῖ om. Bʹ 5 Scamandrum dicit qui re vera erat Cassander στρατ. ἡμῶν Bʹ 6 σὺν αὐτοῖς πρ. ἡ. Bʹ 9 Achaiam et sqq. ad 10 ιζʹ om. Bʹ 14 Πιερίδα Arm. 15 αὐτῶν παρ. τῷ ξοάνῳ Bʹ 17 ξόανον αὐτοῦ ὅλον Bʹ 18 βούλεται add. Arm. 20 καθυποτ. om. Arm., add. ex Bʹ καὶ διὰ — 21 ποιούμενος om. Bʹ 22 ἔπεισε, βαρβ. ἔτρεψε, τοὺς θ. ἡμ. Bʹ 23 τιμήσας μεγ. τὸν σ. ἀπέλυσε Bʹ 25 Φρ. κ. ἐλθὼν εἰς τόν Σκ. (= p. 49, 24) Bʹ 26 sqq. solus habet Val. 30 versus similes in A fuisse putandi sunt; huic stemmati simile ap. Paus. 1, 11

Pyrrhusque post id nobile adserit sanguen,
quem subsecuta est Pieli fama non dispar;
Pielique proles Eubius dehinc regnat.
post Nessus ardens excipit domus nomen
Argusque post id, qui potens fuit Xanthi;
ex hoc Arete nobilis genus ducit.
Areta natus Priami nomen accepit,
Tryinus unde et Eurymachus post illum,
ex quo Lycus fit dives et dehinc Castor.
Castore natus est Dromon, qui dat Phocum;
atque hinc suborta est Metrias, quae suscepit
Neoptolemei nominis vicem dignam,
cui substitutus Charopus. hic Molossorum
regni potitus auctor extitit stirpis
nostrae
eritque viscus inclytum matris,
e qua subortus vestro sanguini adnector.
quaesoque nomen adseras tuum nobis
bellisque praestes gloriasque subtexas
velut feracis seminis . . . fructum,
quod cuncta late spatia terrae pervadat;
unaque metis nostra fac Phaetonteis
regna explicari mundus adserat cunctus.

Καὶ θεασάμενος τὸν Σκάμανδρον ποταμόν, εἰς ὃν ἥλατο Ἀχιλλεύς, 11
ὅτι πέντε πήχεων οὐκ ἦν τὸ εὖρος, καὶ τὸ σάκος Αἴαντος τὸ ἑπταβόειον οὐ πάνυ μέγα οὐδὲ οὕτω θαυμαστὸν καθὼς συνέγραψεν Ὅμηρος, εἶπεν·
'Μακάριοι ὑμεῖς οἱ τυχόντες τοιούτου κήρυκος τοῦ Ὁμήρου, οἵτινες ἐν μὲν 12
τοῖς ἐκείνου ποιήμασι μεγάλοι γεγόνατε, ἐν δὲ τοῖς ὁρωμένοις οὐκ ἄξιοι τῶν ὑπ' ἐκείνου γεγραμμένων.'

---

2 et 3 *pieri* et *pierique* codd., corr. Mai (cf. Myth. Lex. III 2496). XV. a Pyrrho quod dicit Tharypum Paus., admodum congruit (ad v. 13). nomina mythica fere usque ad Neoptolemum v. 12 3 *ubius* T 5 quem Xanthum dicat obscurum 6 *aretes* T 8 *trynus* T *et* ⟨*est*⟩ Rad. *erimachus* AP 11 vera nomina Metris et Metrion 12 filium dignum qui Neoptolemi avi nomen gereret 13 re vera Tharypas (vel Tharypos vel Tharyps); metuo ne alia quoque nomina corruperit Val. 15 'exciderunt nomina Alcetae et Neoptolemi' Kübl. 16 *eritqui* T *sicque* A *viscus* T: *iustum* AP 24 *δι' οὗ* Arm. *ἔνθα* vel *ὅπου* B′ *ἥλ. Ἀχ.*, *ἐνήλατο καὶ αὐτός. θεασάμενος δὲ τὸ ἑπταβόειον Ἀλέξανδρος οὐ πάνυ* B′ *qui erat in latitudine cubitorum quinque* Leo (cf. Syr.) 27 *ἐντετυχηκότες* B′ hinc usque ad p. 52, 3 deficit Arm.; dedi B′ et e regione Val. aut solum Val., ubi B′ quoque deficit

Καὶ προσελθὼν αὐτῷ ποιητής τις εἶπεν· Ἀλέξανδρε, κρείττονα ἡμεῖς γράψομεν Ὁμήρου. Ὁ δὲ Ἀλέξανδρος εἶπεν· Βούλομαι παρ' Ὁμήρῳ Θερσίτης εἶναι ἢ παρὰ σοὶ Ἀχιλλεύς.

his auditis ab eodem cum multi 13
admodum litterati studio eius erga
amicos religioneve tracti iter eius
prosequerentur parique sese stilo
opera sua prosecuturos esse promitterent, optasse se dixit vel Thersitem apud Homerum mage quam apud scriptores eiusmodi Achillem putari maluisse.

hucusque tamen comes eius itineris ac laboris mater Olympias fuit; sed exim participato convivio cum illam ad Macedoniam remisisset, dat una ducere comitatum spectabilis multitudinis optimatium captivorum ipseque devertens iter institit ad Darium.

Ἐλθὼν δὲ ἐκεῖθεν εἰς τὴν Πύλην καὶ συνάξας τὴν Μακεδόνων στρατείαν σὺν οἷς ᾐχμαλώτευσεν ἐν τῷ πολέμῳ Δαρείου τὴν ὁδοιπορίαν ἐποιεῖτο εἰς Ἄβδηρα. οἱ δὲ Ἀβδηρῖται ἀπέκλεισαν τὰς πύλας τῆς πόλεως αὐτῶν· ὁ δὲ Ἀλέξανδρος ἐπὶ τούτῳ ὀργισθεὶς ἐκέλευσε τῷ στρατηγῷ αὐτοῦ ἐμπρῆσαι τὴν πόλιν αὐτῶν. οἱ δὲ πέμπουσιν αὐτῷ πρέσβεις λέγοντες· Ἡμεῖς ἀπεκλείσαμεν τὰς πύλας οὐχ ὡς ἀντιτασσόμενοι τῷ σῷ κράτει, ἀλλὰ δεδοικότες τὴν τῶν Περσῶν βασιλείαν, μήπως Δαρεῖος ἐπιμείνας τῇ τυραννίδι πορθήσῃ ἡμῶν τὴν πόλιν ὡς παραδεξαμένων σε. ὥστε σὺ παρελθὼν ἄνοιξον τῆς πόλεως τὰς πύλας· τῷ γὰρ ἰσχυροτέρῳ βασιλεῖ ὑποτασσόμεθα. Ταῦτα ἀκούσας Ἀλέξανδρος

Igitur cum sibi per urbem 43
Abderam transitus foret, obseratis
urbis suae claustris Abderitae eum
ne reciperent obfirmaverant. id
contumeliam ratus et convenire 2
protinus milites et urbem illam
igni vastare mandavit. sed legatione Abderitae docent sese illud
non odio contemptuve Graeci regis
eiusque iustissimi factitare, enim 3
metuere impetum barbarorum motusque Darei inconsultiores; qu isi
potestatis aliquid in sese relictum
foret, non absque poena Abderitarum fore, quod Alexandrum in
amicitiam contra Persae commoda
receptassent: 'igitur reverso tibi'
aiunt 'et victori parebimus'. ad
haec rex illum quem conceperint 4

2^{1} τις: *Clitomidis* Leo *Krintimos* Syr. κρ. ἡμ. γρ. B κρειττόνως (sive κρεῖττον sive κρείττω) ἡμεῖς γρ. τὰς (vel τὰς σὰς) πράξεις Ὁμήρου C cett. *maiores laudes possum facere tibi de tuis actionibus quam fecisset Homerus, quia plus miraculosas virtutes fecisti quam hi qui fuerunt Troiae* Leo 2^{2} *studiosius*, corr. Schlee 5^{1} Ἀγαμέμνων B' 10—13 haec in uno Val. 11 an *commilitio*? Diversa de matre tradunt Leo Syr. Cf. Itin. 18 14^{1} Ἀμφίπολιν Müll. *Πέλλαν* Ausf. 29^{1} fuitne olim: *post victoriam portas aperi*? (cf. Val.) ἐπανελθὼν Rad. 30^{1} *πύλας* C cett.: *θύρας* BM

ἐμειδίασε καὶ εἶπε πρὸς τοὺς ἀποσταλέντας παρ' αὐτῶν πρέσβεις· 'Δεδοίκατε τὴν Δαρείου βασιλείαν, μήπως ὕστερον ὑμᾶς ἐκπορθήσῃ ἐπιμένων τῇ βασιλείᾳ· πορεύεσθε καὶ ἀνοίξατε καὶ κοσμίως πολιτεύεσθε· οὐ γὰρ εἰσελεύσομαι εἰς τὴν πόλιν ὑμῶν, ἕως ἡττήσω ὃν δεδοίκατε Δαρεῖον βασιλέα· καὶ τότε ὑμᾶς ὑποχειρίους λήψομαι.' Καὶ ταῦτα εἰπὼν πρὸς τοὺς πρέσβεις τὴν ὁδοιπορίαν ἐποιεῖτο.

de Dario metum abicere supplices
iubet neque ulterius eius vim atque 5
impotentiam formidare. nunc tamen se velle respondit urbem quam fidentissime reserent; se in praesenti oppidum haud ingressurum. 'enim cum revenero' inquit 'non hospes vobis, sed amicus ero'.

Καὶ παρεγένετο ἐν δυσὶν ἡμέραις εἰς τὴν Βοττίαν καὶ τὴν Ὄλυνθον καὶ ἐξεπόρθησεν ὅλην τὴν χώραν τῶν Χαλκιδέων καὶ τοὺς σύνεγγυς ἀνεῖλεν. κἀκεῖθεν ἦλθεν ἐπὶ τὸν Εὔξεινον πόντον καὶ πάσας τὰς πόλεις ἔσχεν ὑπηκόους τὰς ἔγγιστα. οὐκ εἶχε δὲ τοῖς Μακεδόσι τὰ ἐπιτήδεια τῶν τροφῶν, ὥστε λιμῷ πάντας τελευτᾶν.⟩

His dictis iter ad Euxinum 44
tendit omnesque sibi urbes eius litoris vindicat. equestri denique Neptuno sollemniter operatus ad Maeotim paludem venit asperam satis et inviabilem prae rigore.
quae circa occupatus omnibus hisce 2
deficitur, quae ad alimoniam requiruntur.

ὁ δὲ Μακεδὼν ἔργον ἐπινοίας μεστὸν ἀνερευνήσας ταῖς φρεσὶ πάντας τοὺς ἵππους τῶν ἱππέων ἀπέσφαξε καὶ τὰ σώματα ἐκδείρας ἐκέλευσε τῷ στρατῷ τὰς σάρκας ὀπτῶντας τροφῆς κορεσθῆναι· οἱ δὲ τῆς λιμοῦ ἀναγκαζούσης ἐχρῶντο. θρυλούντων δὲ τῶν στρατιωτῶν καὶ λεγόντων· 'Τί 3
ἔδοξεν Ἀλεξάνδρῳ πάντας τοὺς ἵππους ἀναιρῆσαι; πρὸς μὲν γὰρ τὸ παρὸν ἐκορέσθημεν τῆς τροφῆς, ἄνοπλοι δέ ἐσμεν τῶν ἱππέων ἔξωθεν μὴ φυλασσόντων τὸ στράτευμα' ἀκούσας ὁ Ἀλέξανδρος τὰ διαλαλούμενα καὶ εἰσελθὼν 4
εἰς τὸ στρατόπεδον οὕτως ἔφη· 'Ἄνδρες συστρατιῶται, τοὺς ἵππους ἀπέσφαξα καίτοι ἀναγκαιοτάτους ὄντας πρὸς πόλεμον, ὅπως ὑμεῖς κορεσθῆτε τῆς τροφῆς. ποία γὰρ ἡμῖν χρεία τῶν ἵππων, τελευτώντων τῶν ἱππέων; 5

1^1 ὑπεμειδίασεν BM 5^1 ἀν. τὴν πόλιν ὑμῶν C debebat κλείσατε (cf. Val.) 6^1 οὐ — 7 ὑμων om. BM 15^1 Χαλδαίων B′ (*Chaldaeopolis* Leo), corr. Müll. 18^1 τῷ Ποσειδῶνι θύσας τε πρὸς Μαιωτίδα λίμνην σὺν πᾶσι παραγίνεται· χώρα δ' οὖν αὕτη πέλει χειμέριος ἀνήβευτος τροφὰς μὴ κεκτημένη Byz. Val. οὐκ εἶχε BM: ἔλειψε CL cett. 21 rursus inc. A μεστὴν A 23 ὀπτόντας A ὀπτᾶν κ. ἐσθίειν· κ. ἐκορέσθησαν κ. τοῦ λιμοῦ ἀνέψυξαν B′ τροφῆι A 24 θρυλλούντων A 26 ἵππων A αὐτῶν ἱππέων ἔξωθεν ἡμᾶς μὴ φυλασσόντων Byz. *neque ad custodiam solitam vigiliae . . . servarentur* Val. τῶν ἱππέων BMFL τῶν ἵππων ἡμῶν ἀποσφαγέντων CV 29 ἀναγκαιοτάτων ὄντων A ὅπ. ἡμεῖς τροφῆς (om B) κορεσθῶμεν B′

τὸ γὰρ κακὸν μετριωτέρῳ κακῷ ἀντισηκούμενον μετριωτέραν ἔχει τὴν λύπην. ἑτέρας γὰρ γῆς ἐπιβάντες φιλανθρώπου ἑτέρους μὲν ἵππους ῥᾳδίως εὑρήσομεν· ὑμεῖς δὲ ὀλλύμενοι ὑπὸ τῆς λιμοῦ, ἑτέρους Μακεδόνας ποῦ παραγενόμενος εὕρω;'

Ὅθεν πραΰνας τὸ στράτευμα τὴν ὁδοιπορίαν ἐποιεῖτο. παραπεμψά- 45
μενος δὲ ἑτέρας πόλεις ἦλθεν εἰς Λοκρούς· ἐπιμεινάντων ⟨δὲ⟩ ἐκεῖ τῶν
στρατευμάτων, ἡμέραν μίαν παραπεμψάμενος, ἦλθε παρὰ τοὺς Ἀκραγαντίνους
καὶ εἰσελθὼν εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν ἠξίου τὴν Φοιβηλάλον αὐτῷ
μαντεύσασθαι· τῆς δὲ λεγούσης μὴ χρησμοδοτεῖν αὐτῷ τὸ μαντεῖον ὀργισθεὶς
ὁ Ἀλέξανδρος εἶπεν· 'Εἰ μὴ βούλει μαντεύσασθαι, βαστάξω κἀγὼ τὸν τρίποδα 2
ὥσπερ ὁ Ἡρακλῆς ἐβάσταξε τὸν φοιβηλάλον τρίποδα, ὃν Κροῖσος ὁ Λυδῶν
βασιλεὺς ἀνέθετο.' Ἦλθεν δὲ αὐτῷ φωνὴ ἀπὸ τοῦ ἀδύτου· ''Ηρακλῆς 3
Ἀλέξανδρε τοῦτο ἐποίησε θεὸς θεῷ, σὺ δὲ θνητὸς ὢν μὴ ἀντιτάσσου θεοῖς·
αἱ γὰρ πράξεις σου μέχρι θεῶν λαληθῶσιν.' Τῆς οὖν φωνῆς ἀνενεχθείσης 4
εἶπεν ἡ φοιβηλάλος μάντις· 'Αὐτὸς ὁ θεός σοι ἐμαντεύσατο τῷ ἰσχυροτέρῳ
σε ὀνόματι προσαγορεύσας· ἐβόησε γὰρ ἐξ ἀδύτων· Ἡρακλῆς Ἀλέξανδρε,
τοῦτό σοι προμηνύων, ὅτι ἰσχυρότερον πάντων δεῖ σε γενέσθαι ἐν ταῖς
πράξεσι καὶ εἰς τοὺς αἰῶνας μνημονεύεσθαι.'

Παραγενομένου δὲ τοῦ Ἀλεξάνδρου εἰς τὰς Θήβας καὶ αἰτοῦντος τοὺς 46
Θηβαίους στρατεύεσθαι ἄνδρας ,δ' ἀρίστους, ἀπέκλεισαν οἱ Θηβαῖοι τὰς

1 ὁ γὰρ κακῶι A, corr. ex cett. (nolui ὁ . . . ἀντισηκούμενος, etsi — νος B) μετρίαν B′ **2** εὑρήσομεν ἵππους ἀνδρικωτέρους τε καὶ φιλανθρωποτέρους Byz. 3 ἡμεῖς δὲ ὀλύμμενοι A hinc rursus inc. Arm. παραγ. otiosum: τὸ παρὸν B′ Arm. 5 ὁδοιπ. ἐπ' εὐθείας ἐποιεῖτο εἰς ἑτέρας πόλεις. ἦλθε δὲ Arm. ἐπ. εἰς ἑτέραν πόλιν B′ (ἐπὶ τὰ μέρη τ. βαρβάρων διὰ τ. Κιλικίας C), qui hinc deficit ad II 6 usque (cf. ad v. 19) *perculsis plurimis civitatibus* Val. An παραμειψάμενος? 6 ἦλθον εἰς λόκρου A 7 ἐπὶ δυσὶν ἡμέραις Byz. ἀνεπαύσατο ἐκεῖ μετὰ τῶν στρ. ἡμ. μίαν Arm. παραπ. πάντας οὓς εἶχεν Arm. recte ut vid. *nihilum moratus* (= παραπ. πάντα?) Val. τοῦ ἀκραγανθινοῦ A εἰς τόπους . . . τῶν Ἀκραγαντινείων Byz. (Arm.). Agrigentinos quin dixerit non dubito; inutile Ἀκραίφνιον (Zacher) vel Τεγύρας μαντεῖον (Müll.) inferre 8 φοίβην λαλεῖν A 9 χρησμοθετεῖν A 11 Ἡρ. τῶν θεῶν ⟨μὴ⟩ χρησμοδοτούντων αὐτῷ Arm. (cf. Byz.) φοίβην λάλον A κραῦσος A 12 add. Arm. καὶ ταῦτα λέγων ἐβάσταξε τὴν Φοιβολάλον καὶ (sic) τὸν τρίποδα, ὃν Κροῖσος ὁ βασ. ἀνέθετο (cf. Syr. Val.) 13 τούτωι A θεὸς ἐκ θεοῦ Arm. θεὸς αὐτὸς ὢν πρὸς θεόν Byz. *quod tu facis Hercules fecit, et ille deus et tu divinitati iam destinatus* Val. 14 λαληθ. pro futuro dictum esse potest; ὅπως μὴ . . . ῥηθῶσιν Byz. ἐλαλήθησαν Arm. *damit die Götter deine Helfer seien und deine Tapferkeit in der Welt erzählen* Syr. ἐνεχθείσης A Byz. 15 αὐτῆς A 16 Ἡράκλεις et Ἡρακλῆς discernere non potuit 17 προμηνύω A Arm. Val., corr. e Byz. 18 καὶ — μνημον. om. Arm., habent Val. Byz. 19 — 55, 3 habent FLV (= L′), om. BMC 20 στρατιώτας Arm. ,δ' Arm. Byz. Syr.: δὲ A *mille* Val. *quadringentos* Leo (at infra p. 53, 3 *IV milia*)

πύλας καὶ μήτε ⟨ἀποστείλαντες⟩ πρέσβεις πρὸς τὸν Ἀλέξανδρον μήτε δεξά-
μενοι καθώπλιζον στράτευμα πρὸς τὸν Ἀλέξανδρον ἐρχόμενοι. πέμπουσι 2
δὲ ἐνόπλους ⟨πεντακοσίους⟩ ἀπὸ τῶν τειχῶν κηρύσσειν τῷ Ἀλεξάνδρῳ ἢ
πολεμεῖν ἢ ἀπέρχεσθαι ἀπὸ τῆς πόλεως. ὁ δὲ μειδιάσας εἶπεν· 'Γενναῖοι 3
Θηβαῖοι, τί ἑαυτοὺς ἀποκλείσαντες ⟨ἐντὸς⟩ τῶν τειχῶν τοῖς ἐκτὸς παρα-
κελεύετε ἢ πολεμεῖν ἢ ἀπέρχεσθαι; μαχέσομαι οὖν νὴ τὸν Δία οὐχ ὡς
πρὸς πόλιν οὐδὲ ὡς πρὸς γενναίους τινὰς καὶ ἐμπείρους Ἀρεϊκῆς μάχης,
ἀλλ' ὡς πρὸς ἰδιώτας καὶ δειλούς· πάνυ γὰρ ὑπὸ τὸ δόρυ πάντας σχῶ
⟨τοὺς⟩ ἑαυτοὺς συγκλείσαντας ἐντὸς τῶν τειχῶν. ἀρίστων γάρ ἐστιν ἀνδρῶν 4
ἐν ἐλευθέρῳ πεδίῳ μάχεσθαι, γυναικῶν δὲ ἔργον κατακλείεσθαι † δίνας
τοὺς μέλλοντας.'

Ταῦτα εἰπὼν ἐκέλευσε τετρακισχιλίοις ἱππεῦσι διατρέχειν ἔξωθεν 5
τῶν τειχῶν καὶ τοξεύειν τοὺς ἐφεστῶτας, ἑτέροις δὲ δισχιλίοις ἐκέλευσεν
ἀξίναις καὶ πέλυξι διστόμοις καὶ μακροτάτοις ὄνυξί τε ⟨καὶ⟩ σιδηρέοις
μοχλοῖς ὀρύσσειν τὰ θεμέλια καὶ τοὺς ὑπὸ τῆς Ἀμφίονος καὶ Ζήθου λύρας
ἁρμολογηθέντας λίθους διαμοχλεύοντας καταρρίπτειν πῦρ τε ταῖς πύλαις
προσφέρεσθαι καὶ τοὺς καλουμένους κριοὺς μετὰ βίας ἐρείδεσθαι πρὸς τὴν
τῶν τειχῶν διάλυσιν· ἔστι δὲ ταῦτα ὄργανα διά τε σιδήρου καὶ ξύλων 6
κατεσκευασμένα ὑπὸ τροχῶν ἀπὸ τῆς τῶν στρατιωτῶν βίας συνωθούμενα,
μακρόθεν δὲ ἐξαφιέμενα πρὸς τὰ τείχη καὶ ταχέως ἀπὸ τῆς ὁρμῆς τοὺς
πάνυ πυκνῶς ἁρμολογητοὺς λίθους . . . αὐτὸς δὲ μεθ' ἑτέρων χιλίων 8
σφενδοναρίων καὶ λογχυβόλων κατασκάψων Θήβας περιέρχεται. πῦρ μὲν
οὖν ἦν πάντῃ καὶ λίθοι καὶ βέλεμνα καὶ δοράτων ἀκμαὶ ἠκοντίζοντο, ἀπὸ

---

1 add. L' μήτε δεξ. A: om. Val. Byz. ἀντιταξάμενοι Arm. 2 ἐρχόμενοι ineptum: ἐλθόντες δὲ ἐπὶ τὸ τεῖχος ἔνοπλοι Arm. In mg. λείπει A 3 add. e L' Val. Byz. Arm. (*CCCC* Syr., cf. ad p. 52, 20) 4 ἀπέχεσθαι A (LF) 5 τί: τίνες A add. Arm. Byz. Leo (L') παρακομίζετε A, corr. Müll. (item Arm. Val.) 7 $\overset{\tilde{o}}{\pi}$ (i. e. πόλιν) A (Arm.): πολεμικοὺς Müll. ἄραι εἰς μάχας A πολέμου B' 8 πρὸς ἰδιωτικὰς κ. δειλίας πεπληρωμένας γυναῖκας L' ἤδη γὰρ πάντας δορυαλώτους ὑπηκόους ἔχω. ὑμεῖς οὖν ἑαυτοὺς ἐνεκλείσατε ἐντὸς τῶν τειχῶν καὶ ἔξω ἀέρινον κραυγὴν βάλλετε Arm. ὑπὸ τὸ δόρυ μου λοιπὸν πάντας ὑμᾶς κατέχω, ἀνθ' ὧν προσαπεκλείσατε πάντας ἐντὸς τειχέων καὶ προσφωνεῖτε τοὺς ἐκτός Byz. (Syr.) 9 ἀρίστην γὰρ εἶναι A ἀριστεία Rad. 10 δεδινίας τ. μ. ⟨ἀγῶνας⟩ Ausf. ex. Arm. 12 τετρακισχιλίους A χιλίους cett. (cf. p. 54, 10) διατρ. etiam L' Byz., exp. περιτρ. (Arm. cett.) 13 τὰ τείχη A, corr. e Byz. ἑστῶτας A, corr. Müll. δισχιλίους A Byz. Leo χιλίους L' Arm. 14 ἐν ἀξίνεσιν A μακροτόμοις A L' μακροτέραις Byz. μακροτόμοις ὄν. κ. μακροτάτοις μοχλοῖς Arm. 16 ἁρμολογεῖσθαι τοὺς λ. A πύλεσσι A 18 ἔστη τε τὰ ὄργ. A, corr. ex L' Arm. Byz. arietum descriptio melior in Syr. 19 κατασκ. A ὑπὸ: facile ἐπὶ 20 ἐξαφιέναι A τοῦ π. πυκνῶς πυκνοτάτως ἁρμολογήσας τοὺς λ. A 21 velut ⟨ἐκριζοῦντα⟩ (καταβάλλει Arm. ἐκριζοῦται Byz. διαλύουσι L') 22 σφενδονιστῶν L' -ητῶν Byz. κατασκάψας A 23 βελίανα ut vid. A inde ab ἀπὸ δὲ usque ad πόλις p. 54, 16 om. Arm.

*δὲ τῶν τειχῶν οἱ Θηβαῖοι κατέπιπτον τιτρωσκόμενοι ⟨καὶ⟩ ὥσπερ ἐξ
αἰθρίου βολῆς θεόβλητοι σφενδονούμενοι ἐτελεύτων· οἱ δὲ κατήρχοντο
ἀφετοὶ μὴ δυνάμενοι ἀντιτάσσεσθαι.*

Ἐντὸς μὲν οὖν τριῶν ἡμερῶν πᾶσα ἡ Θηβαίων ἐπυρπολεῖτο πόλις. 9
*πρῶτον μὲν διαρρήσσεται ἡ Καδμεία πύλη καλουμένη, ἔνθα ἦν ὁ Ἀλέξανδρος
ἐφεστώς· εὐθέως δὲ ὁ βασιλεὺς διὰ βραχυτάτου ῥήγματος εἰσῆλθε μόνος·
πολλοὶ δὲ τῶν ὑπαντώντων Θηβαίων φυγῇ ἀπέτρεχον· τοὺς μὲν γὰρ ἐτί-* 10
*τρωσκεν ὁ Ἀλέξανδρος, τοὺς δὲ καὶ φόβῳ συνετάρασσεν. ἐπεισέρχονται
δὲ καὶ ἀπὸ τῶν ἑτέρων πυλῶν οἱ ἐπίλοιποι στρατιῶται σὺν † ὅπλοις
ἱππεῦσιν, πάντες ὄντες τὸ πλῆθος τρισχίλιοι, καὶ πάντας ἀναιροῦσιν. ἤδη
δὲ τὰ τείχη διελύοντο ⟨καὶ⟩ κατέπιπτον· ὀξὺ γὰρ τὸ Μακεδονικὸν στρά-* 11
*τευμα πρὸς τὰ ὑπὸ Ἀλεξάνδρου κελευόμενα πάντα. πολλῷ δὲ λύθρῳ
ἀνθρωπίνῳ κατεβράχη τὰ πρωτοπαγῆ Κάδμεια θεμέλια καὶ πολλῶν Θηβαίων
σώματα στεινὸς ἐπετήρει χῶρος, ἔχαιρέ τε Κιθαιρὼν ἐπὶ θρήνοις οἰκείοις
καὶ πόνοις ἐπιτερπόμενος· κατέπιπτε γὰρ οἰκία πᾶσα καὶ πυρὶ κατεφλέγετο
πᾶσα Θηβαίων πόλις. χεὶρ δὲ Μακεδονικὴ οὐκ ἔκαμε τὸν πολυσφαγῆ* 12
*σίδηρον αἱματώσασα· ἀβοήθητοι δὲ Θηβαῖοι φρενοβλαβεῖς ὑπὸ Ἀλεξάνδρου
διώλοντο.*

καὶ τότε Ἰσμηνίας τις Θηβαῖος, τῆς αὐλομελῳδίας ἔμπειρος ἄνθρωπος 46a
*καὶ σοφὸς τῇ γνώμῃ τυγχάνων, ὁρῶν τὰς Θήβας καταρριφείσας καὶ κατα-
σκαπτομένας καὶ πᾶσαν ἡλικίαν ἀναιρουμένην, στενάξας ὑπὲρ ⟨τῆς⟩ πατρίδος
διὰ τῆς τῶν αὐλῶν ἐμπειρίας ἀριστεύειν ἄρχεται. ἐνενοήθη ⟨γὰρ⟩ τοὺς* 2
*αὐλοὺς βαστάξας παρὰ τοὺς πόδας τοῦ βασιλέως γονυκλινὴς γενέσθαι, καὶ
οἰκτρὸν καὶ καταδεὲς καὶ ἐλεημονικὸν μέλος ἀναμέλψαι, ὅπως διὰ ⟨τῆς⟩
τῶν αὐλῶν δεήσεως καὶ διὰ τῆς τοιαύτης μελῳδίας καὶ μουσικοῖς θρήνοις
μελῳδῶν δυνηθείη εἰς ἔλεος καταγαγεῖν τὸν Ἀλέξανδρον. ἔκρινεν δὲ πρῶτον* 3

---

2 ἀερίου A *wie Blitze, wenn sie vom Himmel auf die Erde herabblitzen* Syr. θεόληπτοι A *populi de muro cadebant multi moriendo et alii ex muro lapsum faciendo* Leo; nolui κατηργοῦντο ἄνετοι 4 ἐπυρπολεῖτο F (πυρὶ συγκατεκαίετο Byz.): ἐκυρτάνετο A 5 διαρήσσεται A κάδιμ̄ π. λαλουμένη A Cadmea porta numquam fuit 6 βραχύτητος ῥιτμίδος A (ῥιγίδος Byz.), corr. Müll. -τάτης ῥυμίδος Wilam. Herm. 26, 202 7 τῶν ὑπαὐτῶν Θηβ. A ἀπαντησάντων . . τῶν Θηβ. Byz. 9 ἀπὸ A: ἐκ Byz. διὰ L′ σὺν ὅπλοις καὶ ἵπποις Müll. σ. ὅ. σπεύσαντες Rad. 10 τετρακισχίλιοι L′ Byz. Syr. isque verus numerus 11 διελοντα κατέπιπτεν A ὀξύτατον (vel -τάτως) et infra πάντα ἐξετέλουν L′ 12 πάντα: ἀπαντᾷ Rad. 13 κατεστράφη A: κατεβρέχετο L′ Byz. κάδμη A 14 στεγνὸς ut vid. A χορός A Κιθαιρών: ad Alexandrum haec refert Syr. abundat ἐπὶ 16 χειρίδης *Μακ.* A ἔκαμε Arm. Syr. Byz. (ἀπέκαμον): ἔμεινεν A 20 καταριφ. A 21 αἱρουμένην AF 22 ἐνενοήθει A δόξας . . . ἀριστεύειν ἤρξατο προσπίπτειν L′ et possis ἀριστ. ἐννοηθεὶς ἄρχεται τοὺς 24 καταδεὲς etiam L′: ἐμπαθὲς Arm. 25 δεήσεων A nempe μόυσικοὺς θρήνους (cf. Arm.) 26 ἐξιλεώσασθαι τὸν Ἀλ. L′

δεητικοὺς τῷ δυνάστῃ προσενέγκασθαι λόγους, καὶ τὴν χεῖρα προτείνας
μετὰ πολλῶν δακρύων ἄρχεται λέγειν οὕτως·
Ἀλέξανδρε, νῦν πείρᾳ μαθόντες τὸ σὸν ἰσόθεον κράτος σεβόμεθα· 4
*ἐπίσχες τὰς ἀνικήτους χεῖρας ἀπὸ Θηβαίων*** ἐπιδοξότατοι θεοὶ καὶ*
προγονικῆς μίξεως ἀρχέγονον βλάστημα. Διός τε καὶ Σεμέλης πυριλοχευτὸς
Διόνυσος ἐν Θήβαις ⟨ἐτέχθη⟩, Ἡρακλῆς ⟨παρὰ⟩ Διός τε καὶ Ἀλκμήνης
κατεσπάρη· οὗτοι πᾶσιν ἀνθρώποις βοηθοὶ καὶ εἰρηνικοὶ σωτηρίας φύλακες
ἐφάνησαν, σοῦ δὲ τυγχάνουσιν, Ἀλέξανδρε, προπάτορες ὄντες, τούτους σε
χρὴ μιμήσασθαι καὶ εὐεργετεῖν. ὥσπερ ἐκ θεῶν γενόμενος μὴ ὑπερίδῃς 5
τὰς Διονύσου καὶ Ἡρακλέους τροφοὺς Θήβας ἀπολλυμένας, μηδὲ τὸ βοόκτιστον
ἄστυ κατασκάψῃς· ὄνειδος γὰρ ὕστερον Μακεδόσι γενήσεται. ἀγνοεῖς, 6
Ἀλέξανδρε, Θηβαῖος ⟨ὢν⟩ καὶ οὐχὶ Πελλαῖος; ὅλη σε Θηβαίων χώρα λιτανεύει διὰ τῆς ἐμῆς φωνῆς, τοὺς σοὺς προπάτορας κομίζουσα θεούς, Λυαῖον εὐφροσύνης καὶ χορείης θιασώτην, Ἡρακλέα δίκαιον ἔργοις καὶ βοηθὸν
ἀνθρώποις. ἤδη καὶ μιμητὴς τῶν σῶν προγόνων ⟨γενόμενος⟩, καλῶν καὶ 7
ἀγαθῶν ὄντων τὸ πλεῖον, εἰς εὐεργεσίαν μετάτρεπε τὰ τῆς ὀργῆς. [τὸ] προχειρότατον πρὸ τοῦ κολάζειν τὸ ἐλεεῖν ἔχε.

μὴ θῇς ἐρήμους τούς σε σπείραντας θεούς,
τῶν σῶν γενεαρχῶν μὴ καθαιρήσῃς πόλιν.
ἰδίαν σοῦ πατρίδα μὴ ἀγνοῶν κατασκάψῃς.
ὁρᾷς τὰ τείχη ταῦθ᾽, ἅπερ δεδώμηνται

3 *ἰσόθεον κράτος* cett.: *σθενοκράτος* A *σεβόμεθα* des. L′ (pergens *κ. εὐθέως παραλαβὼν Ἀλ. τὰ στρατεύματα ὥρμησεν* = p. 72, 10) 4 quae exciderunt verba sunt in Arm.: *μήπως ἀγνοῶν δόξης πρὸς τοὺς οἰκείους καὶ συγγενεῖς σου ἀσεβεῖν. Διόνυσος γὰρ καὶ Ἡρακλῆς Θηβαῖοι καὶ ἔνδοξοι καί.* Byz. ad sensum eadem praebet. *ἔνδοξοι* Arm. *μέγιστοι* Byz. *ἐπιδοξοτάτοις θεοῖς* A 6 *ἐτέχθη* Byz. om. A *ἐγεννήθη* Arm. *ἡρακλεῖς* A *παρὰ* Byz.: om. A (*ὑπὸ* Arm.) 7 *ἐσπάρη* Byz. (Arm.): *κατέσπειραν* A *οὕτω* A *βοηθοὶ καὶ εἰρηνικοὶ* Arm.: *κληθῆι καὶ ἐν εἰρηνικῶι* A *παρακλητικοὶ* Rad. *βοηθεῖν ἐφάνησαν . . . ὡς σωτηρίας φύλακες εἰρηνικῆς* Byz. 8 *τούτους* Byz. Arm.: *τούτωι* A 10 *ἀπολλυμένας* etiam Byz.: *διαφθείρων* Arm. 11 *κατασκάψῃς* Arm. *προσκατασκάψῃς* Byz. *κατασκάψαι* A 12 *θηβαῖον* A *Πελλαῖον; ὅλη σε* Arm. *Πελλαῖος. ὅλη σε* Byz. *πελ$\overset{ε}{λ}$· πόλις σε* A 13 *διὰ . . . φωνῆς* om. Arm. Byz. *κομίζ.* etiam Arm. *Λυαίου* Byz. *Ληναῖον* Arm. *λῦσαι οὓς* A 14 *χορίης θιασώτας* A *Ἡρακλέα δίκαιον* Arm.: *Ἡρακλῆς δίκαιος* A *βοηθείᾳ* aut *βοηθὸν* Arm. *βοηθῆ* A *βοηθεῖν ἐφάνη* Byz. 15 *γενόμενος* Arm.: *ἂν φαίνῃ* Byz. 16 an (*τὸ*) *λοιπὸν*? *εἰς πολλὴν εὐεργ. τράπηθι* Arm. *πλείονα τὸν οἶκτον ἐκ τῆς ὀργ. μετατραπεὶς δῴης εὐεργ.* Byz. *εὐεργεσίαν* Byz. Arm.: *ἐργασίαν* A *μετατραπεὶς ἐκ τῆς ὀργῆς* Byz. *μετατρέπει τὰ τῆς ὀργῆς* A *τράπηθι ἀπὸ τῆς ὀργῆς* Arm. *πρὸς τὸ προχειρότατον τοῦ κολάζειν* A *πρόχειρον πρὸ τοῦ* Arm. om. Byz. 18 Usque ad v. 23 contraxit, cetera om. Val. versus 1 et 2 om. Byz. 21 *ταῦτα δεδομημένα* A, corr. Sitzler. In Arm. legimus *μηδὲ ἀγνοῶν κατασκάψῃς τοιαῦτα τείχη δεδομημένα ὑπὸ Ζήθου καὶ Ἀμφίονος. τῇ γὰρ ᾠδῇ καὶ μέλει λύρας οἱ Ζηνὸς*

Ζῆθός ⟨θ'⟩ ὁ ποιμὴν καὶ ὁ λυρῳδὸς Ἀμφίων,
οἱ Ζηνὸς υἱοί, οὓς λάθρᾳ ἔτεκεν νύμφη,
ἡ Νύκτεως ⟨παῖς⟩ ἐν χοροῖς πλανηθεῖσα;
τὰ θεμέλια ταῦτα καὶ τὸ πλούσιον δῶμα
πύργωσε Κάδμος. ὧδε λαμβάνει νύμφη⟨ν⟩
⟨τὴν⟩ Ἁρμονίαν, ἣν ἔτεκεν ἀφρογενὴς Κύπρις
τῷ κλεψικοίτῃ Θρῃκίῳ συνελθοῦσα.
τὴν σὴν ἄρουραν ἀκρίτως μὴ ἐρημώσῃς·
μηδὲ καταφλέξῃς πάντα Θηβαίων τείχη,
† πλαγίου τέ ἐστιν ἄδωμα. ὁ δὲ τί δὲ δυσδαίμων
πατρὸς φονευτὴν Οἰδίπουν λυγρὰ μήτηρ.
τοῦ⟨θ'⟩ Ἡρακλῆος τέμενος ἦν, τὸ μὲν πρῶτον
Ἀμφιτρύωνος οἶκος· ὧδ' ἐκοιμήθη
τρεῖς νύκτας ὁ Ζεὺς εἰς μίαν ἀριθμήσας.
ὁρᾷς ἐκείνους τοὺς πεφλεγμένους οἴκους
ἀκμὴν ἔτ' ἐκστάζοντας οὐρανοῦ μῆνιν;
ἐκεῖ κεραυνῷ τὴν ποθουμένην βάλλει
Σεμέλην ποθ' ὁ Ζεύς· ὧδε μέσσον τοῦ πυρός
τὸν Εἰραφιώτην ἀπεκύησε Ληναῖον.
ὧδ' Ἡρακλῆς μέμηνεν· ἔνθεν οἰστρηθείς
Μεγάραν ἀνεῖλε τὴν γυναῖκα τοξεύσας.
ὁ βωμὸς οὗτός ἐστιν ὃν βλέπεις Ἥρας.

υἱοὶ . . ., in Byz. πόλιν, τὴν παρὰ Ζήθου μετ' αὐλῶν Ἀμφίωνος κτισθεῖσαν. καὶ γὰρ καὶ μέλη σὺν αὐλοῖς μετὰ κιθάρας ηὔλουν

1 θ' add. Kroll. λυρῳδὸς Müll.: λοίδορος A 2 Ζηνὸς Müll.: Ζήνωνος A nempe υἷες ἔτεμεν A 3 παῖς Arm. ποτ' add. Müll. χοροῖς Byz. Arm.: χρόνωι A 4 δῶμα Byz. Arm.: δόγμα A 5 προσεπύργωσε Byz. πύργος καὶ A ὧδε Arm.: ὅδε A 7 κλεψικοίτῃ Θρῃκίῳ Müll. Arm.: κλεψοκύτει θρησκείωι A 10—11 πλαγίου τέ ἐστιν ἄδωμα. ὁ δὲ τί δὲ δυσδαίμων πατρὸς ψόγον τὴν ἡδύπνουν A βασιλέως Λαβδάκου ἐστὶ δῶμα τοῦτο. ὧδε ἔλαβε γυναῖκα ὁ δυσδαίμων, καὶ τὸν . . . πατροκτόνον . . . Οἰδίπουν ἔτεκεν ἡ λυγρὰ μήτηρ Arm. ὑπάρχουσι γὰρ δώματα Λαβδάκου βασιλέως· ἐν ταύτῃ δὲ προσέδειμε δυσδαίμων πατροφόνον Οἰδίπουν μήτηρ ἡ λυγρά Byz. possis Λάβου'στι δῶμα· ἐνταῦθ' ἀτίταλλε vel potius ἔτειλε cum Sitzl. Licetne τὸ Λαβδάκου δῶμ' — ὧδ' ἔτειλε? (nisi versus Labdaci mentionem continens excidit) 11 φονευτὴν corr. Maas 12 τοῦθ' Arm.: τοῦ A Ἡρακλέος A 13 Ἀμφιτρύωνος Arm.: Ἀμφικτύονος A Byz. ὅδε A Arm. 14 ἀριθμήσας Arm.: ἠρίθμησεν Byz. ἀθροίσας A ⟨συν⟩αθροίσας Müll. συναρθμήσας Sitzl. 16 ἔτ' ἐκστάζοντας Kroll: ἐτεκτάξοντες A ἐπιστάζοντας Byz. μῆνιν Byz. Arm.: μήνην A 17 ἐκεῖ Kroll: ἐκ A ἐνθάδε Arm. κεραυνοῦ A 18 ὁ δὲ μέσον A 19 τὸν Εἰραφιώτην . . . Ληναῖον Arm. Byz.: τὴν ἠριφαότην . . . λινεόχην A 20 ὧδ' Arm.: ὅδε A 21 Μεγάραν Byz. Arm.: μεγερὰν A παῖδας κατατοξεύσας Byz. καὶ παῖδας ἐτόξευσεν Arm. 22ss. in Byz. sunt tales: Ὃν βλέπεις πάλιν δὲ βωμόν, Ἀλέξανδρε φρενήρη, Ἡρασιλόφου τέτμηται βῶλος ἀρχαῖος οὗτος, χιτὼν τοῦ Ἡρακλέος ὢν καὶ σάρκα Φιλοκτήτου

*ὑψηλὰ * * κέκμηκε βωμὸν ἀρχαῖον.*
ἔνθ' Ἡρακλῆς χιτῶνι σάρκα δαρδάπτων
κατηθαλώθη χερσὶ ταῖς Φιλοκτήτου.
* * *
ταῦτ' ἐστὶ Φοίβου λόγια, Τειρεσίου δῶμα.
ὁ τρισγέρων ⟨ἐνταῦθα⟩ γίνεται μάντις,
ὃν εἰς γυναῖκα μετετύπωσε Τριτωνίς.
Ἀθάμας μανεὶς ἐνταῦθα παῖδα Λέαρχον
τόξοις ἀνεῖλεν εἰς νεβρὸν τυπωθέντα.
ἐνθένδε Ἰνὼ ἥλατ' εἰς βυθοῦ κῦμα
σὺν τῷ Μελικέρτῃ τῷ νεογνῷ λυσσώδης.
ἐνθένδε πηρὸς Οἰδίπους ἀπηλάσθη
ταγαῖς Κρέοντος· οὗ τὸ βάκτρον Ἰσμήνη.
οὗτος δ' ὁ ποταμὸς ἐκ μέσου Κιθαιρῶνος
Ἰσμηνός ἐστι Βάκχιον φέρων ὕδωρ.
ἐλάτην ὁρᾷς εἰς ὕψος ἀρθεῖσα⟨ν⟩ κλάδοις;
ἐν τῇδε Πενθεὺς τοὺς χοροὺς κατοπτεύων
πρὸς τῆς τεκούσης δυστυχὴς διεσπάσθη.
πηγὴν ὁρᾷς βρύουσαν αἱμόχρουν ὕδωρ,
ἐξ ἧς βοὸς μύκημα δεινὸν ἠχεῖται;
τοῦτ' ἐστὶν αἷμα τῆς σεσυρμένης Δίρκης.
ὁρᾷς ἐκείνην ⟨ὑ⟩στάτην ἀκρώρειαν

καὶ τοῦ Ἀρείου δράκοντος ταῦτα φοιβολογία· δώματα γενεσίου ... In Arm.: *οὗτος ὁ βωμὸς, ὃν βλέπεις, Ἥρας ὑψίβατος ᾠκοδωμημένος διωρισμένος ἐστὶ βωμὸς ἀρχαῖος, ἐν ᾧ Ἡρακλῆς ⟨ἐνδὺς⟩ χιτῶνα σάρκα δαρδάπτοντα κατεβρώθη ⟨θεὶς ἐν⟩ χερσὶ Φιλοκτήτου ⟨τὰ βέλη⟩ ἐν αἵματι δράκοντος ⟨βεβαμμένα⟩.*

1 *ὑψήλα*[χ] *κέκμηκεν ὁ βωμὸν ἀρχαῖον* A *ὑψηλὸν ὃν κ. δῆμος ἀρχαῖος* Sitzl. 2 *κιθῶνα* A, et possis *κιθῶνι* *δαρδάπτειν* A, corr. Maas 3 *καθηλώθη δὲ χ. τῆς φιλ.* A, corr. Diels et Maas 5 *ταῦτ' ἐστὶ* Arm.: *ταύταις τῆι* A *Φοίβου λόγια* A Arm. *φοιβολογία* Byz. Fuitne *Φοιβολάμπτου*? 6 *ὁ τρεῖς γέρων ... μάνδης* A *ἐνταῦθα* add. Kroll. *ἐν οἷς ὁ τρισγενναῖος γίνεται μάντις* Byz. 7 *μετετύπωσα τρίτωνα* A, corr. ex Arm. *μάντις ἐκεῖνος ὁ Τριτώνης* Byz. (qui horum mythorum nihil fere intellexit) 8—18 om. Byz. 8 *ἀθάμα* A *Λέαρχον* Arm.: *δὲ ἄρχον* A, an *Λείαρχον*? 9 *νεβρὸν* Arm. *νεῦρον* A 10 *ἔνθεν δ' ἐκεῖνο* A *ἐνταῦθα Ἰνὼ* Raabe, an *καθήλατ'*? 11 *λυσσώδης* Arm. *λυσσότην* A 12 *ἀπηλάσθη* Arm. *ἀπελάσθην* A 13 sic Arm. *τάγες κρίοντος οὕτω β. εἰσμήνην* A (*ὑσμίνην ἔπνει* Arm.) 14 *οὕτω ἀπότομος εἰς μέσον κιθαρῶν· ὡς* A *ἐκ μέσου* Müll. De Ismeno et Dirce cf. Wilam. Herm. 26, 198 15 *Ἰσμηνός* Arm.: *ἐσμίνου* A *βακχέον φέρον* A 17 *ἐντὶ δὲ πενθεῦσιν* A 18 *τῇ τεκούσῃ* A, corr. ex Arm. *δυστυχὴς* Arm. *δυστύχοις* aut *δυστόχοις* A *δυστυχῶς* Müll. *δυστόκου* Rad. 19 *πηγὴν ὁρᾷς* Arm.: *τὴν ἀγήνορος* A *κρήνην ὁρᾷς* Byz. *αἱμόχρουν* Kroll: *ἔμοχθον* A *αἷμα χρυσοῦ ἐκχέουσαν ὡς ὕδωρ* Byz., *αἱματόεν ὕδωρ* Arm. 21 *αἵματι σεσ.* A 22—58, 4 om. Byz. 22 *⟨ὑ⟩στάτην* Müll. *λείαν* Arm.

τὴν ἐξέχουσαν αὖθι τῆς ἀταρπιτοῦ;
ἡ Σφίγξ ἐπ' αὐτῆς ἕζεθ' ἡ τεραστία
πρόσταγμα προστάττουσα δημόταις πᾶσιν,
ἣν Οἰδίπους ἀνεῖλε πολλὰ μερμήρας.
αὕτη θεῶν πηγή 'στι καὶ ἱερὰ κρήνη,
ἐξ ἧς ἀναβλύζουσιν ἀργυραῖ νύμφαι.
εἰς τάσδε λιβάδας Ἄρτεμις κατελθοῦσα
φαίδρυνε χρῶτας· ὁ δὲ δύσαγνος Ἀκταίων,
ἃ μὴ θέμις, κατεῖδε λουτρὰ Λητῴας.
⟨μετ⟩αλλαγεὶς ⟨δ' ἐς⟩ ἔλαφον ἀκλεῶς σῶμα
κυσὶν ὠμοδαίτοις διὰ τὸ λουτρὸν ἠγρεύθη.
† ἐν πᾶσιν † Ἄρης ἐπολέμησε τὰς Θήβας.
ἔνθα Πολυνείκης ἦρξεν Ἀργείου λεώ
στράπτων λοχαγὸς ἑπτὰ φρουρίων λόγχης.
ἐνταῦθα Καπανεὺς παρὰ τὸ χεῖλος ἐφλέχθη.
τὰς μὲν πύλας καλοῦσι ⟨ταύ⟩τας Ἠλέκτρας.
†† πύλαις δὲ ταύταις προστεθείσαις ἡμῖν ἀρρήκτες

1 *ἐξέχουσαν* Arm.: *ἐξηχοῦσαν* A *αὖθι* Kroll: *αὐτῆς* A *αὐτοῦ* Arm. *τῆς ἀταρπιτοῦ* Arm.: *τῆι σατάρπηι· τοῦ* A *τῆς ἀ. ταύτης* Sitzl. 2 *ἡ Σφίγξ* Arm.: *εἰσφὴξ* A 3 *δημῶταις* A 4 *οἰδίπουσαν ἀνεῖλεν* A *μερμηίνας* A *ὁ πολλὰ μερμήρας* Arm. 5 *πηγὴ θεῶν ἐστιν* A, transpos. Müll. Fons aut rivus, in quo Dianam conspexit Actaeon, a ceteris prope ipsas Thebas fuisse non dicitur 6 *ἀναβλύζουσα* A 7 *εἰς τάσδε λιβάδας . . . κατελθοῦσα* Kroll: *αὐτὰς δὲ τὰς λιβάδας ἐν αἷς χρόαν ἐφαίδρυνεν Ἄ. κατ.* Byz. *εἰς τὰ λιβάδια Ἄ. κατελθοῦσαι* A 8 *φαιδρύναι* A Inde ab *ὁ δὲ δύσαγνος* om. Byz. (cf. ad v. 15) 9 *Λητῴας* Arm.: *δίστωας* A 10 sic fere Arm.: *ἀλλαγῆς ἔλαφος* A 11 *κυρινομοδιαίτοις* A, corr. Rad. 12 sic A *παῖδες δὲ ἐπολ.* Arm. *πολλοὶ κατεπολέμησαν ἄνδρες* Byz. An *ἑπτάδυμος Ἄρης*? Septem portarum (et ducum) notitiam ex Eur. Phoen. hausit 13 *λεὼ* Müll.: *λεῶς* A 14 *ἔνθα θυρίων λόγχην* A *ἑπταφρούριον* Byz. *στρατιὰν λογχοφόρος τὸ ἑπτάπυρον (ἑπτάπυργον?) ῥεῦμα* Arm. Non displicet *θούριον λόγχην* 15 *Καπανεὺς* Byz.: *Καμπανεύς* A *χεῖλος* (sc. muri, cf. Eur. Phoen. 1180) A: *τεῖχος* Arm. *πρὸς τὸ τεῖχος Ἄδραστος προσεξέφυγεν· ἕβδομαι πύλαι δ' αὗται* Byz. (om. ceteris usque ad v. 74) 16 *καλ. τὰς δὲ ὑλοκύρας* A *Ἠλεκτραίας* Arm. 17—59, 8 sic A. Corruptissimorum versuum sensus ex Arm. potest intellegi: *πύλαις δὲ παρὰ Προιτίσιν* (in codd. *διὰ πυλῶν προϊασιν ἀνεφγμένων καὶ διὰ τῶν ἀρρήκτων*) *ἀνεῳγμέναις ἄρρηκτον Ἀμφιάραον χαίνουσα κατέπιεν ἡ γῆ. Ὠγυγίαις τρίταις ἐγκλεισθέντα παρὰ πύλαις Ἱππομέδοντα Ἱπποσθένους* (in codd. *τὸν Ἱπποσθένους*) *υἱὸς ἀναιρεῖ. ἔπεσε Νηίσταισι* (in codd. *πεσὼν εἰς χεῖρας ληστῶν*) *πρὸς πύλαις ταύταις Παρθενοπαῖος ὅτε εἰς τὴν γῆν ἦλθεν εἰς πύλας ταύτας ὀλετὴρ μυρίων ἐκλήθη* [?]. *Θαρρῶν Τυδεὺς ὁ Καλυδώνιος Ὁμολωίσι* (in codd. *μολὼν*) *παρέστη* [*πύλαις*]. *Ἐνταῦθα Πολυνείκης καὶ Ἐτεοκλῆς δι' ἀλλήλων ἐπλήγησαν. Ἐνταῦθα Ἄδραστος ἔφυγε καὶ ἀπέθανε* [?]. *Αὗται αἱ πύλαι . . . καὶ ἡ πόλις τῶν Θηβαίων ἔθαψε* (= 74) Arm. *ἕβδομαι πύλαι δ' αὗται. Ἀργεῖον δὲ τὸν*

Ἀμφιάραον χαίρουσα δεχοιοίτε γαῖα.
Ὠγυγίαις πύλεσιν ἐν τρίταις κλῆθρε
*⟨Ἱπ⟩πομέδοντα τὸν μέγαν εὐσθενεῖτ' ***
εἶπεν τὸ κεδίστεσὶν παρὰ πύλαις Παρθενοποιός
ὅτε ἦν μόλην γαίης πύλαις
ὀλώλης μυριέσιν ἐκλήθη. † †
* * *
* * *
θανόντα ἔθαψε τὸν λοχαγὸν Ἀργεῖον.
ἐλέησον, ἁγνὰ λίσσεταί σε Καδμεία.
† αὗται Λυέου τοῦ φιλέα υἱὸς ὡς οὗ Θῆβαι †
† αὗται πέφυκαν ἃς ἐπὶ σέσωπω βακχίους, †
ἃς σὺ κελεύεις ἐκ βάθρων καθαιρεῖσθαι.
ὁρᾷς σὺ σηκὸν Ἡρακλέους πυρούμενον
τοῦ σοῦ γενεάρχου καὶ πατρός ⟨σου⟩ Φιλίππου;
σεαυτοῦ τεμένη ἀγνοῶν θέλεις φλέξαι;
τί τοὺς γονῆας τοὺς τεκόντας ὑβρίζεις,
γένος Ἡρακλῆος ⟨ὧν τε⟩ καὶ κλυτοῦ Βάκχου;'

Τοσαῦτα μὲν ἱκετεύσας Ἰσμηνίας ἔπεσεν παρὰ ποσὶν Ἀλεξάνδρου 9
βασιλέως.

ὁ δὲ Μακεδὼν ὄμμα πρὸς αὐτὸν μηκύνας
καὶ τοὺς ὀδόντας τοῖς ὀδοῦσι συντρίζων
ὀργὴν ἀναπνέων τοῖον εἶπε τὸν μῦθον·
'ὦ παγκάκιστον ἐκλόχευμα Καδμείων,
ὦ παγκάκιστον ζῷον καὶ θεοῖς μῖσος,
ὦ δήμιον βλάστημα βαρβάρου ῥίζης,
ὦ τῆς ἐπ' Ἰσμήνῃ σὺ λείψανον λύπης.

λ. ἐθ. Θηβῶν πόλις Byz., et *ἑβδ. π. δ' αὗται* verba genuina esse possunt; cf. Wilam. 218. 17 *Πύλαις δὲ ταύταις Προιτίσιν παρ' ἀρρήκτοις* Kroll

1 *ἀμφιάαραον* A *Ἀμφιάρεων χαίνουσα δέχνυται γαῖα* Kroll 2 *κληστόν* Sitzl. 3 in fine *θείνει* Sitzl. 4 *ἔπεσεν δὲ Νηΐσταισι παρὰ πύλαις ταύταις* Sitzl. De forma *Νηΐσται* Wilam. 214. 9 *θανόντα . . . λοχαγὸν* Kroll: *θανέντα . . . λαύαγον* A (*λιχανὸν* Byz.) *Ἀργεῖον* Byz.: *Ἀργεῖος* A *θανόντας λοχαγοὺς Ἀργείων* Arm. 10—18 om. Byz. et Arm. 10 sic Kroll: *ἡ διῶσα ἁγνὰ λῖσε τεῦσαι καδμέαν* A 11 possis *Λυαίου τοῦ φιλευίου* 12 an *αὗται πέφυκαν ἐπὶ σὲ* (usque ad tuum adventum) *ἕδωλα Βακχείου? ἐπέσπε Βάκχιος* Rad. 13 facile *ἃς νῦν* 15 *τοῦ σοῦ γενεάρχου* Müll.: *τοὺς ευγενεάρχου* A 16 possis *τεμένη σεαυτοῦ ⟨μὴ⟩ ἀγν. θ. φλ.;* 17 *γονέας* A 18 *γένους Ἡρακλέους . . . Βακχοῦτος. αὐτὸς μὲν ἱκ. μηνίας* A 21 an *πρὸς αὐτὸν ὄμμα?* 23 *ἀναπτέων* A *θυμοῦ πνέων* Byz. 24 *παγκάκιστον* Arm.: *κάκιστον* Byz. *παγκάκιστε* A *καδμέων* A 26 *δημίων* A, corr. Deutschm. Nolui *δείλαιον βαρβάρων* A, corr. Müll. 27 *σὺ: σϊ* ex *σε* (*ἐπισμήνησι*) A Ismenam a Tydeo interfectam dicere videtur

σοφιστικούς μοι καὶ πεπλασμένους μύθους
εἰπὼν ὑπέλαβες, ὅτι πλανᾷς Ἀλέξανδρον;
εἰ γὰρ πρόπασαν τὴν πόλιν καθαιρήσω
καὶ πυρὶ τεφρώσω * * *
καὶ πάντας ὑμᾶς μετὰ πάτρας κατασκάψω
τὴν τῶν γονέων * * *
εἰ γὰρ σὺ γινώσκεις μου τὴν σπορὰν πᾶσαν
καὶ πόθεν ἔφυσα καὶ τίνες λοχεύσαντες,
οὐκ ἦν σε Θηβαίοισ⟨ι⟩ ταῦτα κηρύττειν;
'ὅτι ἐστὶν ἡμῖν συγγενὴς Ἀλέξανδρος,
μὴ πρὸς πολίτην ἀποκαταστῶμεν, δῶμεν
στρατηγίαν ⟨καὶ⟩ σύμμαχοι γενηθῶμεν.
ἡμεῖς πολῖται συγγενεῖς Ἀλεξάνδρου,
δόξα 'στὶν ἡμῖν τῆς γεραιτάτης ῥίζης,
ἐὰν οἱ Μακεδόνες ἐπιπλακῶσι Θηβαίοις.'
ὅτε δ' εἰς ἄμυναν οὐδὲν ηὐτονήσατε
καὶ τὸ θράσος ὑμῶν τῆς μάχης κατῃσχύνθη,
τότε ⟨δὴ⟩ μεταβολὴ καὶ δέησις ἀγνώμων
μὴ δυναμένη † συνεχόντων † ἀναιρῆσαι,
ὅτι οὐ δύνασθε πρὸς μάχην Ἀλεξάνδρου.
ἀλλ' οὐδὲ Θηβαίοισιν οὐδὲ σοὶ πρώτῳ
** κάκιστα τοῦ τέλους ⟨ἐπ⟩ελθόντος.
Θήβας δὲ * αὐτὸς * καταφλέξω.
καὶ Ἰσμηνίαν σε τὸν κράτιστον αὐλητὴν

3 εἰ γὰρ προπᾶσαν (ἢ γὰρ Raabe): ἓν γὰρ πρὸς πᾶσαν A ἐὰν οὖν πᾶσαν Byz. εἰ γὰρ π. Arm. 4 πυρὶ κατατεφρώσω τε, πάτρας δ' ἐξολοθρεύσω Byz. καὶ πυρὶ λικμήσω (κοσκινίσω) ⟨καὶ⟩ τὰς τῶν πατριαρχῶν τεφρώσω ῥίζας (deinde v. 14) Arm. 5 πέτρας A 6 τῶν γενεαρχῶν ἐξέκοψα τὴν ῥίζαν Byz., in ipso cod. A est lacuna duodeviginti fere litterarum, quam scriba non explevit (possis τὴν τῶν γεναρχῶν [cf. p. 55, 19] .. ῥίζαν ἐκκόψω) 7 ἡ γὰρ A 8 poterat ἔφυν τίνες εἰσί θ' οἱ λοχ. 11 nempe ἀντικαταστῶμεν (παραταχθῶμεν Byz.) 12 στρατιὰν Byz. καὶ add. Müll. 13 συγγενεῖ A 14 δόξα ἔστιν A γεραιοτάτης A 16 ὅτε Arm.: δτι A ἠτονήσατε A, corr. Arm. 18 et 19 om. Byz. 18 δὴ Müll. 19 ἀναρήσηι A ἢ μὴ δυνάμενοι σωφρονοῦντες αἱρεῖσθαι Arm. Ergo ⟨τι⟩ (vel μηδὲν δυν.) νουνεχόντως αἱρεῖσθαι 20 idem legisse vid. Arm. Byz. An προσβαλεῖν Ἀλεξάνδρῳ? 21 ἀλλὰ οὐδὲ Θηβαῖοι εἰσὶν οὐδὲ σὺ πρωτο A nempe οὔτε . . . οὔτε 22 συμφέρει τοῦτο add. Arm., similia sane exciderunt verba velut ὄφελος (om. Byz.) κράτιστα τ. τ. αὐθέντος A 22—23 ἐλθόντος τοίνυν ἐφ' ὑμᾶς, ὡς ἔοικε τοῦ τέλους, καὶ Θήβας μὲν ἐκ τῶν ῥιζῶν κακίστως κατασκάψω Byz., τοῦ γὰρ τέλους ἐπιφανέντος αὐτὰς τὰς Θήβας ἐν ταύτῃ τῇ ὥρᾳ τάχιστα καταφλέξω Arm. Possis Θήβας μὲν αὐτὰς ⟨αὐτόθεν⟩ κ. 24 Ἰσμηνίαν Byz. Arm.: εἰς μανίαν A κράτιστον Arm.: κάκιστον A κρατιστότατον Byz.

τῶν ἡμιφλέκτων δωμάτων ἐφεστῶτα
οὕτως κελεύω δίδυμον ὀργάνων ἦχος
διὰ τὴν ⟨Βοιωτίας⟩ ἅλωσιν αὐλῆσαι.'
οὕτως [εἰπὼν] ἐκέλευσε τοῖς στρατοῖς κατασκάπτειν
ἑπτάπυλα τείχη καὶ πόλισμα Θηβαίων.
πάλιν Κιθαιρὼν ἐπεχόρευε Θηβαίοις,
Ἰσμηνὸς αὐτὸς αἱμόφυρτος ⟨ἦν⟩ ῥεύσας.
βέβλητο τείχη καὶ πόλισμα Θηβαίων.
καὶ πᾶσα γαῖα ταῖς σφαγαῖς κοπωθεῖσα
καταρριφέντων δωμάτων πολυκλαύστων
βαρὺ στένουσα † ἀπελθὼν ἐμυκᾶτο.
Ἰσμηνίας δὲ δίδυμον ὀργάνων ἦχος
ἦν ἁρμοσάμενος τῶν ἐρειπίων εἴσω,
ὅπερ ἐκέλευσεν ὁ Μακεδὼν Ἀλέξανδρος.
ἐπεὶ δὲ τείχη πάντ' ἔπιπτε Καδμείων
καὶ μέλαθρα Λύκου καὶ τὸ Λαβδάκου δῶμα,
εἰς εὐσέβειαν τῆς πάροιθε παιδείας
† τὴν Πινδάρου κάτανα τύμβον,
† ἐν ᾧ ἦλθε παῖς ὢν καὶ μετέσχε ταῖς Μούσαις
πρὸς τὸν λυρῳδὸν τὸν γέροντα φοιτήσας.
πολλοὺς μὲν ἄνδρας περὶ πάτραν κατασφάξας
ὀλίγους κατέλιπε παντελῶς ἔτι ζῶντας,
καὶ τοὔνομ' αὐτῶν τοῦ γένους ἀπήλειψεν.
Θήβας γὰρ εἶπε μηκέτι λαλεῖν Θήβας,
ἀλλ' ἄπολιν αὐτῶν τὴν πόλιν γενηθῆναι,
ὡς ἄνομον εἶναι τὸν τοιοῦτον ἄνθρωπον.

1 τὴν ἡμιφλέκτιν A, corr. Müll. 2 οὕτω σε, corr. Maas δίδυμον Byz.: διδύμων A Arm. 3 add. e Byz. Arm. Δύο τί ἀνάλωσιν A 4 οὕτως εἰπὼν Byz.: αὐτὸν εἰπὼν A τότε Arm. 6 Κιθαιρών Byz.: ἐκεῖ χαίρων A [ἐν] Κιθαιρῶνι χορεύειν Arm. quod ex voce ἐκέλευσε pendet 7 ἰσμήνιος A καὶ αὐτὸς ὁ Ἰσμηνὸς αἱμόρρυτος ῥεύσας ἀφ' ἑαυτοῦ Arm. Nolui αὖθις 9—26 om. Byz. 10 om. Arm. καταῤιφέντων δομάτων πολυκαύστων A 11 βαρὺς γένους A πολὺς κλαυθμὸς καὶ βαρὺς στόνος καὶ στεναγμὸς καὶ ὀδυρμὸς ἐμυκῶντο Arm. An ἐκ βένθεων? 12 τῆς μηνίας A, corr. Müll. Arm. διδύμων A 13 τὸν ἠρίπιον ἑστὼς A ἐπὶ δώματος εἱστήκει Arm. 14 nempe ὥσπερ 15 ἔπιπτον Καδμέων A 16 sic Arm.: μελοθρολύκου καὶ τὸ βδακοῦ A Certe debebat Λύκου τε μέλ. 18 τὴν Πινδάρου ἐπῆρεν καὶ κατέλιπεν ἀβλαβῆ τὸν πύργον Arm. In B' est I 27 τηρήσας μόνην οἰκίαν τὴν Πινδάρου 19 ἐν ὧι ἦλθεν πεσὼν A ἐφ' ὃν ἦλθε παῖς ὢν Arm. Possis ὅθ' ἦλθε et τῶν Μουσῶν 20 λυροδὸν A 23 τοὔνομ' Arm.: τοῦ νοῦ A 24 θῆβα A εἶπε Arm.: εἴπω A 25 γεννηθῆναι A 26 ἄνομον Arm.: ἔννομον A, voluit certe ἀνώνυμον. μήδ' ὄνομα μεῖναι τῶν τοιούτων ἀ. Rad.

Συνέβη δὲ ταῖς Θήβαις † ὑπὸ γενναίως· πρώην γὰρ κατασκευαζομένων 11
τῶν τειχῶν καὶ τελουμένων ἡ Ἀμφίονος λύρα μελῳδοῦσα ἐτέλεσε τὰ τείχη,
κατασκαπτομένων δὲ αὐτῶν ὁ Ἰσμηνίας ἐπηκολούθει. τὰ οὖν ὑπὸ μουσικῆς
μελῳδίας κατασκευασθέντα ὑπὸ μουσικῆς μελῳδίας πάλιν κατέπεσεν.

Ἅπαντες οὖν ⟨οἱ⟩ Θηβαῖοι σὺν τῇ πόλει ἀπώλοντο. ὀλίγων δὲ κατα- 12
λειφθέντων ἐκήρυξεν ὁ Ἀλέξανδρος, ὅπου ἐὰν ἐπιβῶσι πόλεως Θηβαῖοι,
ἀπόλεις αὐτοὺς εἶναι. κἀκεῖθεν ὥδευσεν ἐπὶ τὰς ἄλλας πόλεις.

Οἱ δὲ καταλειφθέντες Θηβαῖοι ἔπεμψαν εἰς Δελφοὺς χρησμὸν λαβεῖν, 47
εἰ ὅλως ποτὲ ἀνακτήσονται Θήβας. ὁ δὲ Ἀπόλλων ἐχρησμῴδησεν αὐτοῖς
οὕτως·

Ἑρμῆς καὶ Ἀλκείδης καὶ ἱμαντομάχος Πολυδεύκης
οἱ τρεῖς ἀθλήσαντες ἀνακτίσουσί σε Θήβη.

Οὕτως τοῦ χρησμοῦ δοθέντος ἐξεδέχοντο Θηβαῖοι τὸ ἀποβησόμενον.

Ὁ δὲ Ἀλέξανδρος παραγίνεται εἰς Κόρινθον καὶ καταλαμβάνει ἐκεῖ 2
τῶν Ἰσθμίων τὸν ἀγῶνα ἀγόμενον. παρακαλοῦσι δὲ αὐτὸν οἱ Κορίνθιοι
ἄξαι τὸν ἀγῶνα· ὁ δὲ πεισθεὶς ἐκάθισε. καὶ εἰσελθόντων τότε τῶν ἀγω- 3
νιστῶν καὶ στεφανουμένων τῶν νικώντων ὑπὸ Ἀλεξάνδρου, ἔτι δὲ καὶ δωρεὰς
αὐτοῦ διδόντος τοῖς καλῶς ἀθλήσασιν, εἷς τῶν ἀθλητῶν, παράδοξος ἀνήρ,
Θηβαῖος τῷ γένει, Κλειτόμαχος ὀνόματι, ἀπεγράψατο πάλην, παγκράτιον
⟨καὶ πυγμὴν⟩, τὰ τρία· καὶ ἐν μὲν τῷ σταδίῳ ⟨κατὰ⟩ τὴν πάλην πολυ-
ποικίλοις παλαίσμασι χρησάμενος ἔρρηξεν τοὺς ἀνταγωνιστάς, ὥστε ἔπαινον
αὐτὸν λαβεῖν παρὰ Ἀλεξάνδρου. ἐπελθόντος δὲ αὐτοῦ στεφανωθῆναι τὸν 4
τῆς πάλης στέφανον εἶπεν αὐτῷ ὁ Ἀλέξανδρος· ʻἘὰν καὶ τὰ ἄλλα δύο
νικήσῃς ἅπερ ἀπεγράψω, στεφανώσω σε τοὺς τρεῖς στεφάνους καὶ αἴτημά
σοι δίδωμι, ὅπερ ἐὰν αἰτήσῃ.ʼ Νικήσαντος οὖν αὐτοῦ καὶ τὴν πυγμὴν καὶ
τὸ παγκράτιον, ἔτι μὴν καὶ τὴν πάλην, ἦλθε πρὸς τὸν Ἀλέξανδρον στεφα-
νωθῆναι τοὺς τρεῖς στεφάνους. τοῦ δὲ κήρυκος πυθομένου αὐτοῦ· ʻΤίς 5

---

1 συν. δέ τι τῇ τῶν Θηβῶν γεννήσει Arm. (ὅμοιον add. Raabe) καὶ γέγονε παράδοξον ἐπὶ τῇ πόλει ταύτῃ Byz. Quid lateat nescio; τοῦτο pro ὑπὸ Rad. ποτὲ Byz. πρῶτον Arm. 3 ὡσμηνίας A exp. ἐπηύλει (ηὔλησεν Byz.) 4 κατέπεσον A 6 ὅτου Müll. ἧς Byz. (Arm.) 7 ἄπολις A 9 Θηβαῖοι A ἀνακτίσονται et ἀνακτήσονται auctor non discrevit (ὅπου καὶ πόλις τῶν Θηβῶν ἀνάκτισιν εὑρήσῃ Byz.) ἀπολλῶσ A 11 ἑρμῆς τὲ ἀλίδης A ἱμαντομαχῶν A 12 ἀνακτήσωσί σε A ἀναστήσουσι Arm. ἀνακτίσουσιν Byz. 15 τὸν ἰσόμιον τῶν ἀγώνων A, corr. e Byz. Arm. 16 dicere volebat ἀγωνοθετῆσαι (τελέσαι Byz.) *uti adesset atque illi certamini praesideret* Val. 17 στεφανωμένων τ. νικούντων A τὲ A 18 αὐτοῖς A διδόντας A ἔχων ἰσχὺν παράδοξον Byz. *magnus vir et gloriosus* Leo 19 Κλητόμ. A (item p. 63, l. 5); cf. RE XI 659 πάλιν π. τὰ τρίτων A ἑνὶ σταδίῳ τρία Byz. bis (v. 2415. 2433) τρία γένη τοῦ ἀγῶνος Arm. 20 an τῇ σταδίᾳ πάλῃ? 21 ἔτυψε τὸν ἀνταγωνιστήν Arm., nolui κατήραξε 22 δὲ αὐτοὺς A 26 ἔτι — πάλην melius abessent, et om. Val. Arm.

καλεῖ καὶ ποίας πόλεως τυγχάνεις, ἵνα σε ἀναγορεύσω;' εἶπεν· 'Κλειτό-
μαχος μὲν καλοῦμαι, πόλιν δὲ οὐκ ἔχω.' 'Ὁ βασιλεὺς εἶπεν· '"Ὦ γενναῖε,
τοιοῦτος τυγχάνων ἔνδοξος ἀθλητής, ἐφ' ἑνὸς σταδίου τὰ τρία νικήσας,
πάλην πυγμὴν παγκράτιον, στεφανωθεὶς δὲ ὑπ' ἐμοῦ κοτίνους στεφάνους,
πόλιν οὐκ ἔχεις;' Εἶπεν ὁ Κλειτόμαχος· 'Εἶχον πρὶν γένηται Ἀλέξανδρος 6
βασιλεύς, γεναμένου δὲ Ἀλεξάνδρου βασιλέως ἀπώλεσά μου τὴν πατρίδα.'
Νοήσας ὁ Ἀλέξανδρος, τί λέγει καὶ τί μέλλει αἰτεῖσθαι, εἶπεν· '"Ἀνακτι- 7
ζέσθωσαν Θῆβαι εἰς τιμὴν θεῶν τριῶν, Ἑρμοῦ Ἡρακλέους Πολυδεύκους,
ἵνα ἐξ ἐμοῦ γένηται δωρεὰ καὶ μὴ σοῦ αἴτησις.' Καὶ οὕτως ἀπέβη ὁ χρη- 8
σμὸς τοῦ Ἀπόλλωνος·

Ἑρμῆς καὶ Ἀλκείδης καὶ ἱμαντόμαχος Πολυδεύκης
οἱ τρεῖς ἀθλήσαντες ἀνακτίσουσί σε Θῆβαι.

Β'

Ὁ δὲ Ἀλέξανδρος ἀπὸ Κορίνθου διοδεύσας εἰς Πλαταιάς, πόλιν Ἀθη- 1
ναίων, ὅπου τὴν Κόρην σέβονται, καὶ εἰσβὰς εἰς τὸ τέμενος τῆς θεοῦ,
ὑφαινομένου ἱματίου ἱερατικοῦ † αὐτῆς τῆς τοῦ θεοῦ καὶ θεασάμενος κατέ-
μαθεν †. ἡ δὲ ἱέρεια εἶπε· 'Καλαῖς ὥραις εἰσῆλθες, μέγιστε βασιλεῦ, 2
διάσημος ἔσῃ κατὰ πᾶσαν πόλιν καὶ διαλάμψεις.' Ὁ δὲ Ἀλέξανδρος ἐτί-
μησεν αὐτὴν χρυσῷ. μεθ' ἡμέρας δὲ Στασαγόρας ὁ τῶν Πλαταιέων στρα- 3
τηγὸς εἰσέρχεται εἰς τὸ τῆς θεοῦ τέμενος, καὶ εἶπεν ἡ ἱέρεια· 'Στασαγόρα,
καθαιρεθῆναι ἔχεις.' Ὁ δὲ ἐν ὀργῇ γενόμενος εἶπεν· '"Ὦ ἀναξία τῆς
προφητείας, Ἀλεξάνδρῳ εἰσελθόντι προσηύξω, ἐμὲ δὲ καθαιρεθῆναι εἶπες.'
Ἡ δὲ εἶπε· 'Μὴ χαλέπαινε ἐν τούτῳ· πάντα γὰρ οἱ θεοὶ διὰ σημείων 4
δεικνύουσι τοῖς ἀνθρώποις, μάλιστα τοῖς διασήμοις· ὅτε γὰρ Ἀλέξανδρος
ἐνταῦθα εἰσῆλθεν, ἔτυχεν πορφύραν εἰς τὸν χιτῶνα τῆς θεοῦ βάλλεσθαι·
ὅθεν ἀπεφηνάμην αὐτῷ οὕτως. σὺ δὲ τετελεσμένου τοῦ χιτῶνος καὶ καθαι-
ρουμένου τοῦ ἱστοῦ εἰσέβης· χρὴ οὖν φανερόν σοι εἶναι ⟨ὅτι⟩ καθαιρεθήσῃ.'
Καὶ ὁ μὲν ἐκέλευσε καθαιρεθῆναι αὐτὴν τῆς ἱερωσύνης εἰπών· 'Σὺ σεαυτῇ 5

1 *καλεῖται* A *τίς λέγῃ* Byz. 3 *ἔπαινος σταδίου* A, corr. ex Arm. Byz. 4 *κοκκίνους* A, corr. Müll. *κοτίνους* Byz. 6 *Ἀλ. βασ.* abundat 8 *ἡρακλέως* A 9 *δωρεᾶς καὶ μίσου* A, corr. ex Arm. Byz. 11 *ἑ. τὲ ἀλκίδης* A 12 *ἀνακτίσωσί σε* A Subscr. A *ἀλεξάνδρου πράξεων μέρος ᾱ:* — 14 *παλαταιὰς πόλεις* A 15 *Κόριν* A 16 *αὐτῇ τῇ θεῷ* Müll. *ὕφασμα ἱματίων ἱερατικῶν ὑφαίνετο τῇ θεῷ* Arm. *εὗρε τὴν ἱέρειαν .. προσεπυφαίνουσαν ἱστὸν* Byz. *erat ibi prophetissa quae faciebat sacerdotalem vestem* Leo *τοῦτο πυθόμενος κατέμ.* Arm. *καὶ μετὰ θάμβους ἵσταται* Byz. An *ὑφαινόμενον ἱμάτιον ὑπὸ τῆς ἱερείας τῇ θεῷ θεασ. κατεθάμβησεν?* 17 *ἱερὰ* A *καλὲσ ὥραις* A *ὥρᾳ καλῇ* Byz. Arm. 18 *διαλάμψηι* A 19 *αὐτηῖ* A *πολλῷ χρυσίῳ* Byz. (Leo) *πλαταίων* A 21 *ἀπειλήσας* Byz. Arm. 22 *καθαιρέσειν* A, corr. e Byz. 26 *σοῦ δὲ* A *καθαιρομένου* A, corr. ex Arm. 27 *ἠσέβεις* A add. Müll.

*ἐπέλυσας τὸ σημεῖον.' Ἀκούσας ὁ Ἀλέξανδρος παραυτὰ μετέστησεν αὐτὸν
τῆς στρατηγίας, τὴν δὲ ἱέρειαν εἰς τὸν ἴδιον τόπον ἀπεκατέστησεν.*

Ὁ δὲ Στασαγόρας λαθὼν τὸν Ἀλέξανδρον ἀπέρχεται εἰς τὰς Ἀθήνας 6
*(ἦν γὰρ ⟨ὑπ'⟩ αὐτῶν κατασταθεὶς ⟨ἐν⟩ τῇ στρατηγίᾳ) καὶ διηγεῖται αὐτοῖς
μετὰ δακρύων τὴν καθαίρεσιν. οὐκ ὀλίγον δὲ ἀγανακτήσαντες ὑβρίζουσι* 7
*τὸν Ἀλέξανδρον· ὁ δὲ Ἀλέξανδρος ταῦτα μαθὼν ἔπεμψεν αὐτοῖς ἐπιστολὴν
περιέχουσαν οὕτως· [Ἐπιστολὴ Ἀλεξάνδρου Ἀθηναίοις.]*

'Βασιλεὺς Ἀλέξανδρος Ἀθηναίοις λέγει· ἐγὼ μετὰ τὴν τοῦ πατρὸς 8
*τελευτὴν λαβὼν τὴν βασιλείαν καὶ καταστείλας τὰς πρὸς τῇ δύσει πόλεις
καὶ πλείονας χώρας ἐπιστολαῖς, καίτοι ὄντων μοι ἑτοίμων εἰς συμμαχίαν,
τούτους μὲν ἀποδεξάμενος παρῄνουν μεῖναι ἐπ' αὐτοῖς τοῖς καθεστῶσι . . .
καὶ τούτων με προθύμως ἀναγορευσάντων βασιλέα τῇ ἀνδρείᾳ τούτων* 9
*κατέστειλα τὰ τῆς Εὐρώπης κλίματα καὶ Θηβαίους μὲν κακῶς πράξαντας
ἀπώλεσα, ἐκ βάθρων ἄρας τὴν τούτων πόλιν. νῦν δὲ ἀναβὰς εἰς τὴν* 10
*Ἀσίαν ἔλεγον Ἀθηναίοις δεξιοῦσθαί με, καὶ αὐτὸς πρῶτος ἤδη γράφω ὑμῖν
οὐ πολλῶν λόγων οὐδὲ γραμμάτων πλήθη, ὡς ὑμεῖς ἠτακτήσατε, ἀλλὰ τὰ
κεφάλαια· οὐ καθήκει τοῖς κρατουμένοις †, ἀλλὰ τοῖς κρατοῦσι ταῦτα πρέπει* 11
*καὶ ἐπιτάττειν καὶ ποιεῖν, τουτέστιν ἐμοὶ Ἀλεξάνδρῳ † ὑπακούεσθαι· ἀρτίως
μὲν ἢ κρείττονες γίνεσθε ἢ τοῖς κρείττοσιν ὑποτάσσεσθε, καὶ δώσετε φόρους
κατ' ἔτος τάλαντα χίλια.'*

1 *ἐπέλυσας* Arm.: *ἀπελεύσῃ* A *σὸν τὸ σημεῖον, οὐκ ἐμόν* Byz. *σὺ μετεστάθης, οὐκ ἐγώ* add. Byz. (Arm.) 2 *ἱερὰν* A 3 *λαβὼν* Aᵃ Leo 4 *αὐτῶι* A, corr. ex Arm. 5 *ὀλίγοις* A 8 *τάδε λέγω* Byz. Leo *τάδε λέγει* Arm. 9 *δύσει χώρας* Arm. *πλείονας χώρας* Byz. 10 *ἐπιστολαῖς* etiam Val. Arm. Leo: *ἐπ' ἐπιτολαῖς* Ausf. *καίτοι — συμμαχίαν* A: *ἔπεισα πάσας τὴν ἀρχήν* Arm. *et ad auxilium mei commilitio copulatis* Val. 11 *ἀποδ.* = laudans ob benevolentiam (*gratiam reliquis eius studii fecisse* Val. *receperunt veniam* [*bene* cod.] *et honorem a nobis* Leo) *μή* pro *μὲν* Ausf. *εἶναι* A, corr. Ausf. *καθεστόσι* scripsi: *μακεδόσι* A quorum mentionem in lac. excidisse puto (v. c. *μόνοις δ' ἐπεποίθειν τοῖς πατρίοις μου φίλοις Μακεδόσι*). *μένειν ἐν τοῖς ἰδίοις τόποις· τῶν δὲ πατρίων φίλων μου Μακεδόνων* Arm. *τοὺς ἄλλους κατέλιπον ὡς πατρικούς μου φίλους μένειν εἰς τὰς αὐτῶν πόλεις, τῷ πλήθει γοῦν τῶν Μακεδ. θαρρήσας πάντων βαρβάρων βούλομαι γενέσθαι καθαιρέτης* Byz. *contentum his modo, qui mecum a Macedonia inierant hunc laborem* Val. *ἐφ' αὐτοῖς, ⟨ἀγαπῶν⟩ τοῖς Μακεδ.* Ausf. 12 *καὶ τῶν μὲν προθύμου ἀνηγορευθῶσι* A possis etiam *καὶ ὑφ' ὧν μὲν πρ. ἀνηγορεύθην βασιλεύς, τῇ* 13 *κλήματα* A *πράγματα* Arm. 14 *διαβὰς* Arm. *ἀναβησόμενος* Ausf.; facile *Ἀττικήν* et sim., quibus ipsum emendes auctorem 15 *ἔλεγον* A: *λέγω* Arm. Byz. *spes mihi erat* Val. *ἀθηναίους* A *ἀξιοῦσθαι* A: *δέχεσθαι* Arm. *dextros mihi satis et obsequentes futuros* Val. 16 *ὡς* etiam Arm., qui om. *ἠτακτ.* 17 item Arm. Debebat fere (cf. Ausf. Raabe) *κρ. ἐπιτάττειν, ἀλλὰ τοῖς κρ. τοῦτο πρέπει ποιεῖν. ἀρτ. οὖν . . . κρείττ. τουτέστιν ἐμοὶ Ἀλ. ὑποτάσσεσθε* 18 *τοῦτο· ἐστὶν* A *ὑπακ.*: *et me habeatis seniorem* Leo 19 *γίνεσθαι* et *ὑποτάσσεσθαι* A cf. p. 27, 7 *τοῖς κρ. φόρους δότε τάλ. ,α'* Arm.

Οἱ δὲ Ἀθηναῖοι ἀναγνόντες ἀντιγράφουσιν αὐτῷ· ‘Ἀθηναίων ἡ πόλις 2
καὶ οἱ ἄριστοι δέκα ῥήτορες Ἀλεξάνδρῳ λέγομεν· ἡμεῖς καὶ τοῦ πατρός σου ζῶντος μεγάλως ἐλυπούμεθα καὶ ἀποθανόντος μεγάλως ἐχάρημεν, Φιλίππου τρισκάκου μεμνημένοι. ταῦτὰ καὶ ἐπὶ σοῦ νενομίκαμεν, παῖ 2
Φιλίππου τολμηρότατε. φόρους ἀπαιτεῖς Ἀθηναίους ἐνιαύσια τάλαντα χίλια, τουτέστιν πολεμεῖν βουλόμενος ἀνδρεῖον φρόνημα ἔχεις. εἰ γοῦν φρονεῖς τι, παραγενοῦ· ἕτοιμοί ἐσμεν.’

Ἀντέγραψε καὶ ὁ βασιλεὺς Ἀλέξανδρος Ἀθηναίοις· ‘Πέπομφα πρότερον 3
τὸν ἡμέτερον ἐν τάχει Λέοντα, ἵνα τὰς γλώσσας ὑμῶν ἀποτεμὼν κομίσῃ, ἵνα τοὺς ἄφρονας παρ’ ὑμῖν ῥήτορας ἀπάξῃ, † οὓς οἱ περὶ φόρους † . . . καὶ πειράσομαι ὑμᾶς καὶ τὴν σύμμαχον Ἀθηνᾶν πυριφλεγῆ ποιῆσαι, ὅτι τὰ ἐπιταττόμενα οὐ ποιεῖτε. παράδοτε οὖν τοὺς πρωτεύοντας δέκα ῥήτορας, 4
ἵνα βουλευσάμενος περὶ τῶν ὑμῖν διαφερόντων ἐλεήσω ὑμῶν τὴν πατρίδα.’
Οἱ δὲ ἀντέγραψαν· ‘Οὐ ποιοῦμεν.’ Καὶ μεθ’ ἡμέρας ἐκκλησίαν ποιοῦσι 5
βουλευόμενοι, τί πρακτέον αὐτοῖς. αὐτῶν δὲ βουλευομένων ἀνίσταται Αἰσχίνης ῥήτωρ καὶ εἶπεν·

‘Ἄνδρες Ἀθηναῖοι, τί τὸ βράδος τῆς βουλῆς; εἰ προαιρεῖσθε πέμπειν 6
ἡμᾶς, θαρροῦντες πορευόμεθα. Ἀλέξανδρος γάρ † ἐστι Φιλίππου· Φίλιππος δὲ ἐνετράφη ταῖς τῶν πολέμων αὐθαδείαις, ὁ δὲ Ἀλέξανδρος ταῖς Ἀριστοτέλους παιδείαις καὶ προέτεινε τὰς χεῖρας παιδευόμενος. ὅθεν ἐντραπήσεται 7

---

1 ἀναγνόντες A, om. cett. praeter Byz. (προσαναγνόντες) ἀντιγράφωσιν A 2 λέγωμεν A 3 μεγάλω ut vid. A 4 σὺ νενομικέναι παῖς A νενομικέναι ⟨δεῖ⟩ Ausf. ex Arm. 6 ἔχων A et Arm. qui om. εἰ γοῦν φρονεῖς τι (cum ironia dicta puto) ἀ. φ. ἔχων ἐλθὲ τάχιον καὶ παραγ. πρὸς ἡμᾶς Arm. (Byz.) *cum . . . dependenda mille talenta scripseris, uti scilicet inter nos principia bellandi parares. quod si tibi tanta est confidentia bellandi, paratioribus occursabis* Val. Fort. lac. est post βουλόμενος ἤγουν φθονεῖς τί παρὰ γένους A *aber wenn du jetzt Kampf willst* Syr. 8 πέπεμφε πρότερος A 9 ἐν τάχει cum κομίσῃ iungit Arm. *Leontam* Val. (Λεόννατον Ausf.): λόγον A Πρωτέαν Arm. Πρωτέα Byz. (uterque om. πρότερον, ubi *pridem* Val.). *ich habe den Prodis dorthin gesandt* Syr. Latetne Πρωτέαν τὸν ἡμ. ταχυδρόμον? 10 ἀπάξει A οὓς . . . φόρους A: ἵνα μὴ δύνωνται ἐξαπατᾶν Arm. δεινὸν αὐτοῖς μὴ πρᾶξαι, ἀλλὰ λαβέσθαι συμβουλὴν παρὰ τούτων Byz. An τοὺς ὑπερφρονας? (ὑπερηφάνους Rad.) exciditne ἐλεύσομαι οὖν? *enim consultius visum est pisum me ad evertendas Athenas protinus militare* Val. 11 περιφλεγῆ ποιήσει A 13 βουλεύσωνται τὰ περὶ A, corr. ex Arm. At τοῦ συμβουλεύσασθαί με Byz., unde possis συμβουλευσάντων (sc. αὐτῶν) *daß wir auf euer Bestes denken* Syr. συμφερόντων Arm. Müll. (cf. v. g. Syll.[3] IV 284 b) 14 μεθημ^ε' A (i. e. μεθ.’ ἡμέρας, ut Arm.) μετὰ τρεῖς ἡμ. Byz. 15 τὲ A 16 ὁ ῥήτωρ Müll. 17 προώρισθαι A, corr. e Byz. 18 nempe πορευώμεθα (πορευθῶμεν Byz., cf. Arm.) οὐκ ἔστι Arm., unde Φίλιππος recte Raabe; pergere debebat Φίλ. μὲν γὰρ ἐνετρ. (et γὰρ Arm.) 19 ἀνετράφη A ἀπεστράφη Byz. ἐγεννήθη Arm. πολεμίων A Byz. Arm. 20 ⟨ἡμῖν⟩ τὰς Müll. et πρὸς ἡμᾶς Arm. Cf. Iuv. 1, 15 et Friedl.

ἰδὼν τοὺς διδασκάλους, ἐρυθριάσει ὁρῶν τοὺς καθηγουμένους αὐτὸν περὶ
τῆς βασιλείας, μεταβαλεῖ τὴν γνώμην ⟨ἣν⟩ ἔχει πρὸς ἡμᾶς εἰς εὐμένειαν.'

Λέγοντος τοῦ Αἰσχίνου ἀνίσταται Δημάδης, γενναῖος ῥήτωρ, καὶ 8
ἀνακόπτει τὸν Αἰσχίνην εἰπών· 'Μέχρι πότε, Αἰσχίνη, μεμαλθακευμένους
καὶ δειλιῶντας ἡμῖν εἰσφέρεις λόγους, ὥστε μὴ ἀντιτάξασθαι αὐτῷ πρὸς
πόλεμον; τίς παρεισελήλυθε δαίμων ὡς τοιαῦτα φθέγξασθαι; ὁ τηλικαύτας 9
συνηγορίας ποιησάμενος, ὁ προτρεψάμενος Ἀθηναίους πολεμεῖν πρὸς τὸν
τῶν Περσῶν βασιλέα νῦν εἰς δειλίαν Ἀθηναίους ἐμβάλλεις καὶ τρέμειν
ποιεῖς μειράκιον τύραννον αὐθάδη, τὴν τοῦ πατρὸς ἀναλαβόντα τόλμην;
τί δὲ καὶ δειλιῶμεν αὐτῷ συμβαλεῖν; οἱ Πέρσας διώξαντες καὶ Λακεδαι- 10
μονίους ἡττήσαντες καὶ Κορινθίους νικήσαντες, ἔτι δὲ Μεγαρεῖς φυγαδεύ-
σαντες καὶ Φωκεῖς πολεμήσαντες καὶ Ζακυνθίους πορθήσαντες δεδοίκαμεν
πολεμεῖν Ἀλεξάνδρῳ; — ἀλλὰ λέγει Αἰσχίνης· μνησθήσεται, φησίν, ἡμῶν 11
τῶν καθηγητῶν καὶ αἰδεσθήσεται ἡμῶν τὰς ὄψεις· γελοίως. ἅπαντας
ἡμᾶς ὕβρισε καὶ μετέστησε Στασαγόραν τῆς στρατηγίας, ὃν ἡμεῖς ἀπεκα-
τεστήσαμεν, καὶ † Κιθόωντα τὸν ἐμὸν ἐχθρὸν ἀπεκατέστησεν ἀρχιστρατηγόν,
ἡμῶν οὔσης τῆς πόλεως. ἤδη δὲ αὐτῷ ἐξεδίκησε Πλαταιάς· καὶ σὺ λέγεις, 12
ὅτι θεασάμενος ἡμῶν τὰς ὄψεις αἰδεσθήσεται; μᾶλλον γυμνοὺς ἡμᾶς λαβὼν
κολάσεται. ὥστε πολεμήσωμεν ἀγνώμονι Ἀλεξάνδρῳ καὶ μὴ πιστεύσωμεν,
εἰ περίκειται ἡλικία· καὶ γὰρ ἄπιστος ἡ ἡλικία· δύναται γὰρ γενναίως
πολεμεῖν, οὐ δικαίως σωφρονεῖν. — Τυρίους, φησίν, ἐξεπόρθησεν· ἀδύναμοι 13
γὰρ ἦσαν. Θηβαίους κατέσκαψεν οὐκ ὄντας οὕτως ἀδυνάμους, ἀλλὰ ἀπὸ
πολλῶν πολέμων καμόντας· Πελοποννησίους ἐξηχμαλώτισεν — οὐκ αὐτός,
ἀλλὰ λοιμὸς καὶ λιμὸς αὐτοὺς διέφθειρεν. εἶτα δὲ Ξέρξης ἐξήρτησε τὴν 14
θάλασσαν ναυσὶ καὶ κατέσπειρε τὴν ὅλην γῆν στρατεύμασι καὶ ἐσκέπασε

1 nempe αὐτοῦ vel αὐτῷ 2 μεταβάλλετε A, corr. e Byz. Arm. add. Müll. 3 debebat (ταῦτα) εἰπόντος 4 αἰσχῖνον A 6 τί παρ. δαιμόνιος τ. φέγξασθαι A τίς σοι π. δαίμων . . τοῦ τὰ τ. φθ. Byz. (Arm.) δαίμων δειλίας Arm. Byz. Syr. 7 ἀθηναίου A 8 ἀθηναῖοις ἐμβάλεις A 9 αὐθάδες et ἀναλαβὼν A 11 ἔτη τὲ μὲν γὰρ εἰς A 12 φῶκας A: hi in solo A ζακυθίους A 13 αἰσχύνης ἦν· ἡισθήσεται A 14 ὑμῶν A, corr. ex Arm. Byz. γελοίως scripsi: τελύων A βλέπων Müll. o *rem ridiculam* Val. ἅπαντας: *absentes* Val. 15 ἡμᾶς: εἰ μὲν ut vid. A ὕβρισε μεταστήσας Müll. καὶ etiam Arm.; copula est epexegetica Στ. τὸν τῶν Πλαταιέων στρατηγόν Arm. Byz. Val. κατεστήσαμεν Arm. recte Ἱππόθοον Arm. om. cett. Ἱπποθόωντα Ausf. (nomen mythicum) 16 nempe ἀντεκατ. 17 αὐτῶι A; ('αὐτῷ = solus' Rad.); melius esset εἰ δὴ . . Πλαταιάς, σὺ λ. Om. haec Arm. Syr. 20 τῇ ἡλ., ἣν ἔχει ἐκεῖνος Arm., et tradita fort. toleranda (= τῇ περικειμένῃ αὐτῷ ἡλικίᾳ) εἰ ⟨καὶ⟩ περ. Ausf. ἄπ. ἡ διάνοια τῶν νέων Arm. 21 κυρίους A ἐξεπορεύθησαν A 22 κατέσκαψαν A οὕτως scripsi: αὐτωῖ A Arm. 23 καμόντες A ἐξαιχμ. A 24 εἰ δὲ Ausf. (quod si verum, δὲ abesse debet a p. 67, 4 ut in Arm.). εἶτα δὲ ὅτε (om. καὶ ὅμως p. 67, 1) Arm. ἐξήρτησε non aptum (aptum *coartavit*); ἐπλήρωσε Byz. ἐξετείχισε Arm. Cf. p. 68, 25

τοῖς ὅπλοις τὸν ἀέρα ⟨καὶ⟩ ἐπλήρωσε τὴν Περσίδα τῶν αἰχμαλώτων· καὶ
ὅμως ἡμεῖς αὐτὸν ἀπεδιώξαμεν καὶ τὰς ναῦς ἐπρήσαμεν, Κυναιγείρου καὶ
Ἀντιφῶντος καὶ Μνησοχάρους καὶ τῶν ἄλλων ἀριστέων μαχησαμένων. ⟨νῦν 15
δὲ δεδοίκαμεν⟩ Ἀλεξάνδρῳ πολεμῆσαι παιδὶ τολμηρῷ καὶ τοῖς περὶ αὐτὸν
οὖσι σατράπαις καὶ παρασπισταῖς τοῖς ἀφρονεστέροις αὐτοῦ; εἶτα πέμπειν 16
ἡμᾶς βούλεσθε οὓς ᾐτήσατο δέκα ῥήτορας; εἰ συμφέρει, λογίσασθε. τοῦτο
μέντοιγε ὑμῖν προμηνύω, ἄνδρες Ἀθηναῖοι, ὅτι πολλάκις δέκα κύνες γενναίως
ὑλακτοῦντες ὅλας [τὰς] ἀγέλας [τῶν] ποιμνίων δειλῶς φερομένας πρὸς τοὺς
λύκους οὗτοι ἔσωσαν.

Οὕτως τοῦ Δημάδου ἐκκλησιάσαντος παρεκάλουν οἱ Ἀθηναῖοι τὸν 3
Δημοσθένην ἀναστάντα συμβουλεύειν περὶ τῆς κοινῆς σωτηρίας. ὁ δὲ ἀναστὰς
εἶπεν· ‘Ἄνδρες πολῖται — οὐ γὰρ ἐρῶ Ἀθηναῖοι· εἰ γὰρ ἤμην ὑμῶν ξένος, 2
ἔλεγον ⟨ἂν⟩ Ἀθηναῖοι· νῦν δὲ . . . κοινὴ μὲν ἡμῶν ἐστι πάντων σωτηρία
. . . περὶ τοῦ πολεμεῖν ἢ ὑπείκειν Ἀλεξάνδρῳ. Αἰσχίνης γὰρ ἐχρήσατο κεκρα- 3
μένῳ λόγῳ πρὸς ὑμᾶς, μήτε προτρεπόμενος πολεμεῖν ἡμᾶς μήτε † ἀντιδικεῖν,
ἄνθρωπος γέρων καὶ πολλαῖς ἐκκλησίαις συνηγορήσας. Δημάδης δὲ νέος 4
τυγχάνων κατὰ τὸ τῆς ἡλικίας φρόνημα οὕτως εἶπεν· ‘Ἀπεδιώξαμεν Ξέρξην,
Κυναιγείρου καὶ τῶν ἄλλων ἀριστευόντων.’ ἀλλά, ὦ Δημάδη, δὸς ἡμῖν
τούτους καὶ νῦν, καὶ πολεμοῦμεν πάλιν· πιστεύσωμεν αὐτοὺς τῷ σθένει 5
τῶν ὀνομασθέντων. εἰ δὲ μὴ ἔχομεν ἐκείνους πάλιν, μηδαμῶς πολεμοῦμεν,
ἕκαστος γὰρ καιρὸς ἰδίαν δύναμιν καὶ ἐπιταγὴν ἔχει· δυνάμεθα γὰρ δημη-
γοροῦντες οἱ ῥήτορες, ὅπλα δὲ λαβεῖν ἐσμεν ἀδύνατοι. καίτοι Ξέρξης τὸ 6
μὲν πλῆθος μέγας ἦν, ἀλλὰ βάρβαρος, καὶ ὑπὸ τῆς τῶν Ἑλλήνων φρονή-

---

1 καὶ add. Müll. in lac. cod. A 2 ὁμοίως A ἀπεδ. ἐκ τοῦ Πειραιέως Byz. Arm. ἐπρ. καὶ ἐκ τῆς γῆς τὰ στρατεύματα ἀπεδιώξαμεν Arm. (Byz.) κυναίγειρας κ. ἀντιφῶντας A 3 ut A Syr.: Ὀνησιχαρέα Byz. Μνησιχόρους (vel Νησ-) Arm. *Mnesicharmo* Val. (Μνησιχάρης nomen Atticum) μαχησάμενοι A add. ex cett. Ausf. 5 παρ. καὶ σωφρονεστέροις A οἳ οὐκ ἐπίστανται αὐτοῦ τὴν τόλμαν σωφρονίζειν Arm. (Val.) 6 εἰ Müll.: ἢ A συμφ. ὑμῖν ἄνευ πανοπλίας πορεύεσθαι Arm. (Byz.) 7 δέκα cett.: οἱ A cf. ad p. 2, 10 8 ἀγ. τὴν ποίμνην [et possis ποιμνῶν] A coniunge δειλῶς φερ. ‘ignave se gerentes’ *die furchtsam sind* Syr. ὑφ’ ἓν συνισταμένας Byz. (Arm.) = συμφερ.? 9 possis οὕτως 11 ἀναστ. καὶ ταραχὴν τὴν τούτων κατασιγάσας ἅπασαν τῇ τῆς χειρὸς ἐκτάσει Byz. (Arm. Val. Syr.) *annuit manu, imperavit populis silentium* Leo 13 supple λέγω· ἄνδρες πολῖται et deinde τὸ ἀκριβῶς βουλεύεσθαι ex Arm. 14 περι an παρα A inc. αἰσχύνης A 15 κεκραμμένωι A ἀφιέναι τοῦ μάχεσθαι Arm. (i. e. ἀποδειλιᾶν?). προσαφαιρούμενος ἔρχεσθαι πρὸς τὴν μάχην Byz. (Syr.), unde ἀντιδικῶν Ausf. An ἀντιδοξῶν? 16 γέρων Arm. Syr.: λέγω A ἐν π. ἐ. Arm. Byz. 18 Κυναιγ.: plures nominant Arm. Syr. Byz., praeter Ἀντιφῶντα et Κλεοχάρη (Κλέαρχον) etiam Βοηδρόμιον Ἐρεχθέα Ἀντίμαχον δός Müll.: μος A 19 τὸ σθενίτην ὀνομασθέντα A 20 ἔχωμεν ἐκεῖνοις π. μὴ δημάεις A debebat πολεμῶμεν 22 μὲν δὲ λαβ. A (unde μὲν οἱ ῥ. Müll.) 23 ὑπὲρ A

σεως ἡττήθη. Ἀλέξανδρος δέ ἐστιν Ἕλλην καὶ ἤδη τρισκαίδεκα πολέμους
συμβαλὼν οὐδαμοῦ ἡττήθη, ἀλλὰ καὶ αἱ πλείονες πόλεις χωρὶς μάχης
αὐτὸν παρεδέξαντο. ἀλλά φησιν εἶναι ἀσθενεῖς ⟨Τυρίους· ἀλλ'⟩ οἱ Τύριοι 7
πρὸς Ξέρξην ναυμαχήσαντες καὶ νικήσαντες τὰς τούτου νῆας ἐνέπρησαν.
πῶς δὲ καὶ Θηβαῖοι ἀδύναμοι; οἵτινες ἀφ' οὗ ἐκτίσθησαν πολεμοῦσι καὶ
οὐδέποτε ἡττήθησαν, νῦν δὲ Ἀλεξάνδρῳ ἐδουλώθησαν. Πελοποννήσιοι, 8
⟨φησίν⟩, οὐχ ὑπ' αὐτοῦ, ἀλλὰ λιμῷ ἡττήθησαν. ⟨καίτοι⟩ τότε ἔπεμψεν
αὐτοῖς ἀπὸ Μακεδονίας σῖτον Ἀλέξανδρος. Ἀντιγόνου δὲ τοῦ σατράπου
εἰπόντος· 'Οἷς μέλλεις πολεμεῖν σῖτον πέμπεις;' εἶπεν ὁ Μακεδών· 'καὶ
μάλα, ἵνα ἐγὼ μαχομένους νικήσω αὐτοὺς καὶ μὴ λιμῷ ἀναιρεθῶσιν.' καὶ 9
νῦν ἀγανακτεῖτε, ὅτι Στασαγόρας μετετέθη ὑπ' αὐτοῦ. ὁ δὲ πρῶτος αὐτὸς
ἐστασίακε· καὶ γὰρ τῇ ἱερείᾳ εἶπε· 'διὰ τὸ σημεῖον, ἰδέ, ἐγώ σε μεθιστάνω
τῆς προφητείας.' ὁ δὲ γνοὺς αὐτὸν ἀφρονήσαντα μετέστησε τῆς στρατηγίας.
οὐκ ἦν γὰρ δίκαιον ἀγανακτεῖν τὸν βασιλέα; — ἀλλ' ἐναντίος, φησί, Στασα- 10
γόρας τῷ βασιλεῖ ἐγίνετο· καὶ γὰρ ἐν ἴσῳ βασιλεὺς καὶ στρατηγός. — τί
δὲ μέμφεσθε τὸν Ἀλέξανδρον, ὅτι καθεῖλε Στασαγόραν; — ἀλλὰ Ἀθηναῖος
ἦν, φησίν. — ἡ γὰρ προφῆτις ἡ ὑπὸ Στασαγόρου καθαιρεθεῖσα μήτι οὐκ
ἦν Ἀθηναία; καίτοι ἡμᾶς ἐκδικῶν Ἀλέξανδρος τοῦτο ἔπραξε· τῇ γὰρ ἡμετέρᾳ
προφήτιδι ἀπέδωκε τὴν προφητείαν.'

Οὕτως Δημοσθένους εἰπόντος πολὺς ἔπαινος παρ' Ἀθηναίοις ἐγένετο 4
καὶ θροῦς ἀκατάλληλος· καὶ ὁ μὲν Δημάδης ἐσιώπα, Αἰσχίνης δὲ ἐπήνει
καὶ Λυσίας ἐμαρτύρει καὶ Πλάτων συνετίθετο καὶ οἱ Ἀμφικτύονες ἐψηφί-
σαντο καὶ οἱ † ἡρακλίες οὐκ ἀντέλεγον, τῷ δὲ ὅλῳ δήμῳ συνευδόκει τοῖς
ὑπὸ Δημοσθένους εἰρημένοις. ὁ δὲ Δημοσθένης λέγει· Ἔτι τοῦτο ἀπο- 2
λογήσομαι. λέγει Δημάδης, ὅτι Ξέρξης ἐτείχισε τὴν θάλασσαν ταῖς ναυσί,
κατέσπειρε δὲ τὴν γῆν στρατοπέδοις καὶ τοῖς ὅπλοις τὸν ἀέρα ἐσκέπασε,
τὴν δὲ Περσίδα αἰχμαλώτων Ἑλλήνων ⟨ἐπλήρωσε⟩· καὶ νῦν δικαίως ἐπαι- 3

---

1 ἡττηθέν (τ supra) A δέ: μέν A 2 πλεῖον A 3 παρεδ. ταύτην ὁδὸν εὐροῦσαι τῆς αὐτῶν σωτηρίας Arm. add. ex Arm. Byz. οἱ: εἰ A 7 add. ex Byz. 8 μακεδονίαν A 9 μέλλειν A 11 ὅτι: ὅστις A σταταγόρας (ex σταγ-) A ὁ δὲ Müll.: ὅτε A 12 ἱερᾶι A ἰδέ: εἶδε A 13 πρωτίας A ἀναφρον. A 14 volebatne ἀντάξιος τοῦ βασ.? 15 ἐν ἴσῳ Arm. (Byz.): ἔννης ὁ A τί δὴ Müll. 18 καίτοι: aptum τοιγαροῦν (κᾆτα Rad.) ἡμέραι A 19 πολίτιδι Arm. ἀπέδοτο A 20 Ἀθηναίοις: Amphictyonas commemorant Val. Arm. Syr., eosdem Atheniensibus addit Byz. 21 ἀκατάληκτος Müll. *incongruus* Val. ἄδηλος Arm. ἐπαίνει A[a] 22 πλάτιων A post Platonem Τιμοκράτης (vel Δημ-) συνεβούλευσε, Διόγνητος ἔπεισε Arm., post Lysiam ἠγόρευε Δημόκριτος, ἔστεργε Διογένης Byz. Hinc *Democritus* in Exc. Barb. 271 Fr. 23 ὁ Περικλῆς οὐκ ἀντέλεγεν Rad. ἡρακλίες solus A Ἡράκλειτος Syr. συνευδ. potius quam συνεδ. A συνηυδόκει Byz. Debebat ὁ δὲ ὅλος δῆμος 24 τούτωι A 25 ταῖς: τὴν A 26 ἐσκέπασε Müll. (p. 66, 24) ut Arm. (Val.?): ἐπλήρωσεν A Byz. 27 add. ex Arm. καὶ νῦν — 69, 2 Ἑλλ. ὧν om. Arm. ὑπαίνει A

νεῖται ὁ βάρβαρος ὑπὸ Ἀθηναίων, ὅτι τοὺς Ἕλληνας ᾐχμαλώτισεν, ὁ Ἀλέξ-
ανδρος δὲ Ἕλλην ὢν καὶ Ἕλληνας συλλαμβανόμενος τοὺς ἀντιταξαμένους
αὐτῷ οὐκ ᾐχμαλώτευσεν, ἀλλ᾽ ἐστράτευσε καὶ τοὺς αὐτῷ γενομένους πολε-
μίους συμμαχῆσαι ἠξίωσεν, οὕτως δημοσίᾳ εἰπών· ʽΤοῦ παντὸς ἔσομαι
περικρατὴς τοὺς μὲν φίλους εὐεργετῶν, τοὺς δὲ ἐχθροὺς φίλους ποιῶν.᾽
καὶ νῦν, Ἀθηναῖοι, φίλοι τυγχάνοντες καὶ καθηγηταὶ Ἀλεξάνδρου ἐχθροὶ 4
καλεῖσθαι Ἀλεξάνδρου οὐ δύνασθε. αἰσχρὸν γὰρ ὑμᾶς τοὺς διδασκάλους
ἀμαθεῖς φανῆναι καὶ τὸν ὑμῖν μαθητεύσαντα ὑμῶν τῶν διδασκάλων σωφρο-
νέστερον φανῆναι.

Οὐδεὶς τῶν Ἑλλήνων βασιλέων ἐπέβη τῇ Αἰγύπτῳ εἰ μὴ μόνος Ἀλέξ- 5
ανδρος, καὶ ταῦτα οὐ πολεμήσων, ἀλλὰ χρησμὸν αἰτησόμενος, ποῦ τῆς
ὀνομασίας ἑαυτοῦ ἀείμνηστον πόλιν κτίσει· καὶ ἔλαβε, καὶ ἤδη ἐθεμελίωσε
καὶ ἀνήγειρε· παντὸς γὰρ ἔργου σπουδαίως γενομένης τῆς ἀρχῆς πρόδηλόν
ἐστι ταχέως καὶ τὸ τέλος ἥξειν. ἐπέβη τῇ Αἰγύπτῳ βασιλευομένῃ ὑπὸ 6
Περσῶν, καὶ ἀξιούντων τῶν Αἰγυπτίων συστρατεύσασθαι αὐτῷ πρὸς τοὺς
Πέρσας ἀπεκρίνατο ὁ φρενήρης παῖς· ʽἈμεινότερόν ἐστιν ὑμᾶς Αἰγυπτίους
ὄντας τὴν τοῦ Νείλου πλημμυρίαν καὶ τὴν τῆς γῆς γεωργίαν ἀπεργάζεσθαι
ἢ τὴν τοῦ Ἄρεως τόλμην καθοπλίζεσθαι.᾽ καὶ λόγῳ ὑπέταξεν ἑαυτῷ τὴν
Αἴγυπτον . . . οὐδὲν γάρ ἐστι βασιλεύς, εἰ μὴ πρόσφορον γῆν ἔχοι. πρῶτος 7
οὖν Ἑλλήνων Ἀλέξανδρος ἔλαβε τὴν Αἴγυπτον, ὥστε καὶ πρῶτον αὐτὸν
γενηθῆναι Ἑλλήνων καὶ βαρβάρων. πόσα στρατόπεδα θρέψει ἐκείνη ἡ 8
χώρα; οὐ μόνον τοὺς ἐγγὺς καθεζομένους, ἀλλὰ καὶ τοὺς ἐν πολέμῳ μαχο-
μένους. πόσας πόλεις κενὰς ἀναπληρώσει ἀνδρῶν εἰς κατοίκησιν; ὥσπερ
γὰρ πολύπυρός ἐστιν, τοσοῦτον καὶ πολύανδρος· ὃ ἐὰν γὰρ αἰτῇ ὁ βασιλεύς, 9
εὐκταίως διαδώσει . . . καὶ ὑμεῖς βούλεσθε Ἀθηναῖοι πολεμεῖν Ἀλεξάνδρῳ

---

2 συλλαβόμενος Byz. ὑποχειρίους ποιησάμενος Arm. Fuitne —σι συμμαχόμενος? facile hoc verbo careas 3 αἰχμαλ. A 4 συμμάχους A προσποιεῖσθαι add. Müll. 7 λαληθήσεσθαι; ἀλλ᾽ οὐ δύνεσθαι A οὐκ εἶναι βούλονται (φίλοι), ἵνα ὡς ἐχθροὶ λαληθήσονται Arm. ἡμᾶς et ἡμῖν et ἡμῶν Val. 10 ἀπεστή A πρὸς Αἴγ. ἀπήει Byz. *ingressus est Aegyptum* Leo Arm. *Aegyptum adgredi* Val. 11 αἰτησάμενος A cf. p. 27, 17 13 γενομένην ἀρχήν· πρόδηλοσ A 15 αὐτοῖς A (et poterat —εῦσαι αὐτοὺς) 16 ἡμᾶσ A 18 αὐτῶν A 19 add. καὶ γῆν τὴν ἅπασαν καλῶς ἐπικρατήσει Byz. οὐ τῆς ὅλης οἰκουμένης κρατήσει καὶ ὑπεράνω γενήσεται; Arm. πρόσφορος A 21 γεννηθῆναι A πόσας τὰς μυριάδας τῶν στρ. Byz. Arm. *quot enim exercitus milia* Val. 22 ἐγγύς: ἐν αὐτῇ Byz. cett. Possis ἐντὸς 23 κενὰς Byz. Arm.: καὶ ναύσους A 24 πολύπειρος A καὶ ὃ ἂν Arm. αἰτεῖ A 25 add. εἰ στράτευμα βούλεται, δίδωσιν· εἰ σῖτον ἀπαιτεῖ, ἔχει διδόναι πρὸς πλησμονήν· χρυσὸν βούλεται, εἰς φόρους παραλαμβάνει Arm. *alimoniam petit: protinus parent; auro indiget: sunt vectigalia ditia; militem quaerit: animis volentibus praesto sunt* Val. (cf. Byz.) καὶ ὑμεῖς δὲ A verba πολ. — 70, 1 στρατοπ. in A redeunt post εὐκταῖον p. 70, 2 (πόλεων — ἔχων τὲ τὴν)

τοσαύτην ἔχοντι τὴν χορηγίαν πρὸς πᾶσαν χρείαν τῷ στρατοπέδῳ; εἰ γὰρ
καὶ ὑμῖν ἥδιστον καὶ εὐκταῖον, ἀλλ' ὁ καιρὸς οὐκ ἀπαιτεῖ.'

Οὕτως εἰπόντος Δημοσθένους ἐξ ὁμονοίας πάντες ἐπείσθησαν πέμπειν 5
Ἀλεξάνδρῳ νικητικὸν στέφανον λιτρῶν πεντήκοντα μετὰ ψηφισμάτων εὐχα-
ριστικῶν καὶ ἑτέρων πρέσβεων ἐνδόξων· οὐ γὰρ ἔπεμψαν αὐτῷ τοὺς
ῥήτορας. οἱ δὲ πρέσβεις παρῆσαν εἰς Πλαταιὰς καὶ ἀναδιδόασι τὰ ψηφί- 2
σματα τῷ βασιλεῖ. ὁ δὲ ἀναγνοὺς καὶ μαθὼν τὴν Αἰσχίνου συνηγορίαν
καὶ τὴν Δημοσθένους ἐκκλησίαν καὶ τὴν τῶν Ἀμφικτυόνων συμβουλίαν
ἔγραψεν αὐτοῖς ἐπιστολὴν οὕτως·

‘Ἀλέξανδρος υἱὸς Φιλίππου καὶ Ὀλυμπιάδος μητρός — οὔπω γὰρ ἐρῶ 3
βασιλεύς, μέχρις οὗ πάντας τοὺς βαρβάρους τοῖς Ἕλλησιν ὑποτάξω. ἐγὼ
μὲν ἔπεμψα πρὸς ὑμᾶς πεμφθῆναί μοι ⟨τοὺς δέκα⟩ ῥήτορας, οὐχ ἵνα
αὐτοὺς κολάσωμαι, ἀλλ' ἵνα ὡς καθηγητὰς ἀσπάσωμαι. οὐκ ἐπέτρεψα γὰρ 4
ἐμαυτῷ μετὰ στρατιᾶς ἀνελθεῖν, ὅπως μὴ πολέμιόν με ὑπολάβητε, ἀλλὰ
μετὰ τῶν ῥητόρων ἀντὶ τοῦ στρατοῦ, ἵνα παντὸς δέους ὑμᾶς ἀπαλλάξω.
ὑμεῖς δὲ ἄλλως ἠνέχθητε πρὸς ἐμέ, ἐλεγχόμενοι ὑπὸ τῆς ἰδίας ἑαυτῶν
ἀβουλίας, ὅσα καιροῦ λαβόμενοι διέθεσθε Μακεδόνας. πολεμοῦντος γὰρ 5
τοῦ πατρός μου Φιλίππου πρὸς Ζακυνθίους ὑμεῖς σύμμαχοι Ζακυνθίων
γεγένησθε, ὑμῶν δὲ πολεμουμένων ὑπὸ Κορινθίων Μακεδόνες σύμμαχοι
ὑμῶν γενόμενοι ἀπήλασαν Κορινθίους. καὶ τὸ ἄγαλμα τῆς Ἀθηνᾶς . . . 6
καθηρήσατε. δίκαια τὰ ἀντιμίσθια ἀπελάβομεν παρ' ὑμῶν, ἀνθ' ὧν ἡμεῖς
ὑμῖν ἐποιήσαμεν. ὅθεν μὴ θαρροῦντες τῇ ⟨ἐμῇ⟩ γνώμῃ ἐφ' οἷς ἡμαρτήσατε

1 ἔχοντες A χωρικίαν A εἰ Arm.: ἦν A Byz. 2 ἥδιστος κ. εὐκταίων A ἐπιτρέπει Byz. Arm. 4 στέφ. χρυσοῦν Arm. Byz. Syr. Val. λῆ̄ N̄ A 5 ἑτέρων (etiam Arm.) sc. aliis atque Al. postulaverat 6 ἀναδίδωσι A 8 post ἐκκλ. add. *und die Beherztheit des Demades* Syr.. pro κ. τ. Δημοσθ. ἐκκλ. habet καὶ τὴν Δημάδους κατηγορίαν Arm. ante Amphictyones δήμου τὴν εὐπείθειαν Byz. (Arm.) *und das Einverständnis ihrer Landsleute* Syr. 11 post ὑποτ. add. Byz. τοῖς Ἀθηναίοις προσφωνῶ τοῖς ἔμφροσι τὸ χαίρειν (cf. Arm.) 12 add. ex cett. 13 οὐκ κτλ.: *non cogitavi introire vestram civitatem cum militibus meis* Leo 14 πολεμεῖν A, corr. ex Byz. Arm. Syr. ὑπολάβετε A 16 ἠνέγκατε A ἠνέγκ. ἐν ὑμῖν τὰ πρὸς ἐμέ Arm. *et vos contrarium cogitastis de me* Leo *ihr aber faßt es anders auf* Syr. ἠγανακτεῖτε Ausf. 17 ὅσα καὶ εὐλαβούμενοι διέδεσθε A ὅσα ἐν τῷ χρόνῳ ἐν νῷ ἔθεσθε ποιεῖν Arm. *explorantes idoneum tempus quo meos Macedonas infestaretis* Val. ὁσάκις καιρὸν εὐλ. δυσεθετεῖτε Ausf. An διέθ. ⟨ἂν⟩? 20 ἡμῶν A ἄγ. χαλκοῦν Ἀθ. ἐγειράντων ἡμῶν ἐν Μακεδονίᾳ ὑμεῖς τοὺς ἀνδριάντας τοῦ πατρός μου ἐκ τῶν ἱερῶν Ἀθηνῶν καθ. Arm. *ein Standbild der Ath. haben wir in Mak. aufgestellt, ihr aber habt das Bild meiner Mutter, das in eurer Stadt im Tempel der Ath. stand, herabgestürzt* Syr. *nobis Minervae simulacrum ritu vestro erigentibus in Macedonia vos simulacra et imagines patris mei e templis ac sacris vestris deponendas esse duxistis* Val. (corrupit Byz.) 21 ἀπέλαβεν A ἐλάβομεν Byz. 22 add. e Val. (*memoria iniquitatis vestrae . . non sinens utique animo nostro benignitatique confidere*) ἐν οἷς A, corr. Müll.

*δειλῶς ἔχετε, μὴ τῇ βασιλικῇ δυνάμει ἐπαρθεὶς ἐμαυτὸν ἐξ ὑμῶν ἀμύνωμαι.
μόλις δὲ τοῦτό ἠβουλήθεν ποιῆσαι, εἰ μὴ ἤμην καὶ αὐτὸς Ἀθηναῖος. ... πότε* 7
γάρ τι καλῶς ἐβουλεύσασθε περὶ τῶν παρ' ὑμῖν εὐδοξησάντων; Εὐκλείδην 8
*ἐν φυλακῇ ἀπεκλείσατε ἄριστα ὑμῖν συμβουλεύσαντα· Δημοσθένην ἐφυγα-
δεύσατε πρεσβεύσαντα ὑμῖν τὰ συμφέροντα πρὸς Κῦρον· Ἀλκιβιάδην ἐξυ-
βρίσατε ἀγαθὸν ὑμῶν γενόμενον στρατηγόν· Σωκράτην ἀνείλατε, τὸ παι-
δευτήριον τῆς Ἑλλάδος· Φιλίππῳ ἠχαριστήσατε τῷ ἐν τρισὶ πολέμοις
συμμαχήσαντι ὑμῖν· Ἀλέξανδρον μέμφεσθε ἕνεκα Στασαγόρα στρατηγοῦ
ἀδικήσαντός με καὶ ὑμᾶς. αὐτὸς γὰρ τὴν ἱέρειαν τῆς θεοῦ οὖσαν Ἀθηναίαν* 9
καθεῖλεν, ἐγὼ δὲ αὐτῇ ἐδωρησάμην τὴν προφητείαν. ἀποδεχόμεθα δὲ τὴν 10
*τῶν ῥητόρων πρὸς ὑμᾶς συνηγορίαν, Αἰσχίνην μὲν εἰκότως ὑμῖν συμβουλεύ-
σαντα, Δημάδην ⟨δὲ⟩ γενναίως ἐκκλησιάσαντα, Δημοσθένην δὲ πρὸς τὰ
συμφέροντα ὑμῖν συμβουλεύσαντα. ἔσεσθε οὖν πάλιν Ἀθηναῖοι καὶ μηδὲν* 11
*ὑπ' ἐμοῦ εὐλαβεῖσθε παθεῖν κακόν· ἄτοπον γάρ μοι δοκεῖ εἶναι ἐμὲ περὶ
ἐλευθερίας μαχόμενον πρὸς τοὺς βαρβάρους τὸ τῆς ἐλευθερίας θέατρον
Ἀθήνας καθαιρῆσαι.'*

Ταῦτα διαπεμψάμενος καὶ τὰ στρατεύματα παραλαβὼν εἰς Λακεδαί- 6
μονα παραγίνεται. οἱ δὲ Λακεδαιμόνιοι θέλοντες αὐτῶν ἐνδείξασθαι τὸ 2
*γενναῖον καὶ καταισχῦναι τοὺς Ἀθηναίους, ὅτι ἐφοβήθησαν αὐτόν, ἀπέκλεισαν
τὰς πύλας καὶ τὰς ναῦς ἔπλησαν· μᾶλλον γὰρ ναύμαχοι ἦσαν ἢ ἐπὶ γῆς
πολεμισταί. μαθὼν ⟨δὲ⟩ αὐτῶν τὴν παράταξιν πέμπει ἐπιστολὴν πρῶτον·*

'Ἀλέξανδρος Λακεδαιμονίοις γράφει· πρῶτον συμβουλεύω ἣν εἴχετε 3
*ἀπὸ προγόνων φήμην φυλάσσειν· τὸ γὰρ χαίρειν ἐν ὑστέρῳ ἔστω, ἄνπερ
ἦτε ἄξιοι . . . καὶ πολεμισταὶ καὶ ἀήττητοι, ὁρᾶτε μὴ νῦν καθαιρεθῆτε* 4
*τῆς δόξης μηδὲ ἐνδείξασθαι βουλόμενοι τὸ σθεναρὸν Ἀθηναίοις ὑπὸ αὐτῶν
καταγελασθῆτε ἡττηθέντες ὑπὸ Ἀλεξάνδρου. ὥστε ἀπόβητε τῶν νηῶν
ἑκόντες, ἵνα μὴ τὸ πῦρ ὑμᾶς καταφλέξῃ.'*

---

1 *βασ. διεπαρθῆισ* A, corr. ex Arm. (qui tamen pro *ἐπαρθείς*: *ἐφ' ὑμᾶς ἐπέλθω καὶ*) Val. (*maiestate hac regia sublimatus*) *ἀμυνόμενος* A 2 *ὅτι κἀγὼ Ἀθ. ἦν* Arm. *neque civica religio permittit, cum me quoque . . . Atheniensem esse malueritis* Val. Aut sic ut Arm. aut scr. *μάλα* pro *μόλις* *enim intelligo vobis naturale esse sic sapere* Val. (cf. Syr). Lac. etiam in Arm. 3 *δοξάντων* A *gloriosissimis* Leo Arm. (et possis *ἐνδόξων*) *εὐκλείδης* A *Θουκυδίδην* Byz. 4 *ἀπεκλ.*: *necavistis* Val. *ἡμῖν* A *ἱπποσθένην* A Leo, om. Arm., corr. e Val. Syr. Byz. 5 *πρεσβεύσατε ἡμῖν* A (*πρεσβ.* — *Κῦρον* ad Alcib. refert Val.) 6 *σακράτην ἀνήλατε* A 7 *Φίλιππον* A 8 *συμμαχήσοντι* A 9 *ἀθηναῖοις* A 10 *τῆι προφητείαι* A *τῆι ... συνηγορίαι* A 11 *ἡμᾶς* A *αἰσχίνηι* A *εἴκοντος* A *εἰκότα* Müll. *προσηκόντως* Byz. 13 *πάλλιν ἀθῆναι* A 16 *καθαιρήσατε* A 17 c. 6—13 om. Syr. 18 *αὐτὸν* A *αὐτῶν* Byz. *αὐτῷ* Müll. 20 *ἔπρησαν* A Arm. *καταφλέγουσι* Byz., corr. e Val. 21 *πολεμῆσαι* A, corr. ex Arm. *πρώτην* A 24 *ἄξιοι τὸν τοῦ χαίρειν ἀσπασμὸν παραλαμβάνειν. ὥστε οὖν, ὦ γενναῖοι πολ.* Arm. 26 *καταγελασθῆναι* A *ἀλεξάνδρωι* A *ἀποβῆναι* A

Οὕτως ἀναγνωσθείσης τῆς ἐπιστολῆς οὐκ ἐπείσθησαν, ἀλλ' ὥρμησαν 5
εἰς μάχην, ὥστε καὶ τοὺς ἐκ τῶν τειχῶν μαχομένους τοῖς ὅπλοις καταπεσεῖν,
τοὺς δὲ ἐν ταῖς ναυσὶ καταφλεχθῆναι. οἱ δὲ περιλειφθέντες ἦλθον ἱκέται
καὶ δεόμενοι τοῦ ⟨μὴ⟩ αἰχμαλωτισθῆναι. ὁ δὲ εἶπεν· „Ὅτε ἐγὼ πειθήνιος 6
ὑμῖν προσῆλθον, οὐκ ἐπείσθητέ μοι· ὅτε ⟨δὲ⟩ ναῦς ἄνθραξ ἐγένετο, τότε
πάρεστε δεόμενοί μου. ἀλλ' οὐ μέμφομαι ὑμᾶς· ἔχοντες γὰρ κατὰ γνώμην,
ὅτι Ξέρξην ἀπηλάσατε, ὑπενοεῖτε καὶ Ἀλέξανδρον τοῦτο ποιεῖν· ἀλλ' οὐχ
ὑπεμείνατε τὰ ὅπλα τὰ ἡμέτερα χωρῆσαι.'

Οὕτως ἀποφηνάμενος καὶ συνθύσας τοῖς στρατηγοῖς, Λακεδαιμονίοις 7
τὴν πόλιν ἀπολέμητον κατέλιπε καὶ ἀφορολόγιστον. κἀκεῖθεν ὥρμησεν εἰς
τὰ μέρη τὰ τῶν βαρβάρων διὰ τῆς Κιλικίας.

Δαρεῖος δὲ συνήθροιζε τοὺς ἡγεμόνας καὶ ἔλεγεν· „Ὡς ὁρῶ, κατὰ 7
προσθήκην ὁ πολέμιος εἰς δύναμιν ἐκβαίνει. κἀγὼ μὲν τὸν Ἀλέξανδρον
ληστρικὰ φρονεῖν ὑπενόουν, αὐτὸς δὲ βασιλικὰ ἔργα ἐπιχειρεῖ· καὶ [καθ']
ὅσον ἡμεῖς δοκοῦμεν μεγάλοι εἶναι Πέρσαι, μείζων Ἀλέξανδρος τῇ τόλμῃ
φαίνεται. καὶ τάχα ἐμοῦ αὐτῷ πέμψαντος σκῦτος καὶ σφαῖραν, ὡς ἔχοι 2
παίζειν καὶ παιδεύεσθαι, αὐτὸς τελείως παιδευθεὶς ἐπ' ἐμὲ τὸν καθηγητὴν
ἔσται τὰ ὅπλα κινήσων. ὥστε σκεψάμενοι τὰ κοινῇ συμφέροντα ἀπολογεῖσθε 3
εἰς ἀνόρθωσιν τῶν πραγμάτων, μὴ ἐξουθενοῦντες ὡς μηθένα ὄντα τὸν
Ἀλέξανδρον. καὶ γὰρ δεδοίκαμεν, μὴ τὸ μεῖζον τοῦ ἐλάττονος ταπεινότερον
εὑρεθῇ, τῆς ἄνωθεν προνοίας † τυχῶν καὶ τὴν μεταβολὴν ποιησαμένης.

2 post μάχην add. Byz. τοσαύτη δὲ παράταξις γέγονε τοῦ πολέμου, Val. *coepto tamen atque exercito per biduum proelio*, Leo *impetumque fecit super eos Al. cum suis militibus* μαχομένοις A τοῖς βέλεσι Byz., om. Arm. Val. 3 τοῖς δὲ A 4 ὁ δὲ — 10 ἀφορ. om. Arm. πειθήνιος hic activum; πείθειν Müll. 5 debebat αἱ νῆες κτλ. 7 ἠπειλήσατε A, corr. Müll. *propelli* Val. 9 οὗτος ἀποφηιν. A συνθήσας A 10 exp. ἀπόρθητον ἀφορολόγιστος A 11 κατὰ τῶν β. A 12 Rursus inc. B': cf. ad p. 52, 5. 55, 3 post ἡγεμ. add. Arm. καὶ συνεβουλεύετο αὐτοῖς, τί δέον ἐστὶ πρᾶξαι (sim. B' Byz.) 13 πόλεμος A *illum incrementis bellicae rei quotidie sublimari* Val. (cf. Arm.) ἐπιβαίνει B' 14 καὶ καθὼς οὖν B' ὅσον Byz. Leo (Arm.) 15 μεγάλους A addi expectes τῷ πλήθει, τῇ δυνάμει (*etsi sibi auctior numerus militantium obsequeretur* Val.) μεῖζον A τόλμη A Arm. Val. Byz.: πολλῇ φρονήσει B' 16 αὐτοῦ A ἔπεμψα (et v. 17 αὐτὸς δὲ τ.) Arm. Byz. Leo (B') 17 ὑπὲρ ἐμὲ Ausf. ἐπ' ἐμὲ ἐπέρχεται τὰ ὅλα νικᾶν Arm. *super magistrum veniet suum, et ubicumque pergit victoria sequitur eum* Leo. Malim ἔρχεται pro ἔσται 18 νικήσων A Byz., correxi volebat ἀπολογίζεσθε (ἀποκρινώμεθα Arm.) 19 ἐπανόρθ. A 20 post Ἀλέξ. hiat oratio: ἀφρόνως ἐγκαυχώμενοι Περσῶν τῇ δυναστείᾳ τραπῶμεν παρ' αὐτοῦ καὶ πάλιν ἡττηθῶμεν add. Byz. (B') καὶ ἐπαιρόμενοι τῇ τηλικαύτῃ βασιλείᾳ τῶν Περσῶν ἐπὶ ὅλης τῆς οἰκουμένης καταληφθῶμεν Arm. τῶι μείζονι A 21 ταχεῖαν Rad., non quadrat τυχόν. τυχηρῶς Byz. Vetus orationis forma in B' cett. (τοῦ καιροῦ καὶ τῆς ἄνω προνοίας μεταβολὴν τοῦ διαδήματος αὐτῷ παραχωρούσης Arm.) ποιησαμένους A

δέον ἐστὶ παραχωρῆσαι τὴν Ἑλλάδα, ἵνα ἡμεῖς τῶν ἐθνῶν ἄρχωμεν καὶ 4
μὴ ζητοῦντες τὴν Ἑλλάδα λυτρώσασθαι | ἀπολέσωμεν καὶ τὴν Περσίδα.'
Ταῦτα μὲν ὁ Δαρεῖος. Ὀξυάθρης δὲ ⟨ὁ⟩ ἀδελφὸς Δαρείου εἶπεν· 5
'Ἤδη μέγαν ποιεῖς τὸν Ἀλέξανδρον καὶ θάρσος αὐτῷ δίδως πλέον. ἐπι-
βήσεται τῇ Περσίδι, ἐὰν παραχωρήσῃς τὴν Ἑλλάδα. μίμησαι δὲ αὐτὸς τὸν 6
Ἀλέξανδρον, καὶ οὕτως κρατήσεις τῆς βασιλείας. ἐκεῖνος γὰρ οὔτε στρατηγοῖς
ἐπίστευσε τὸν πόλεμον ὥσπερ ⟨σὺ οὔτε⟩ σατράπαις, ἀλλ' αὐτὸς καὶ στρα-
τηγὸς καὶ ἡγεμὼν καὶ πρῶτος . . . τῶν στρατευμάτων· καὶ πολεμῶν μὲν
ἀποτίθεται τὸ βασίλειον, νικήσας δὲ ἀναλαμβάνει τὸ διάδημα.' Ὁ Δαρεῖος 7
εἶπεν· 'Τί αὐτὸν μιμήσωμαι;' ἕτερος συγκαθήμενος εἶπεν αὐτῷ· 'Τούτῳ
γὰρ πάντων περιεγένετο ὁ Ἀλέξανδρος, μηδὲν ἀναβαλλόμενος, ἀλλὰ πάντων
γενναίως † περιγινόμενος. ἀληθῶς κατὰ τὴν γενναιότητα καὶ μορφὴν λέοντος
ἔχει.' Δαρεῖος εἶπε: 'Πόθεν σὺ οἶδας ταῦτα;' Ὁ δὲ εἶπεν· 'Ἐξότε ἐπέμφθην 8
ὑπὸ σοῦ ἐν Μακεδονίᾳ πρὸς τὸν πατέρα αὐτοῦ Φίλιππον τοὺς φόρους
ἀπαιτῆσαι, ἔμαθον αὐτοῦ τὴν φρόνησιν καὶ τοὺς χαρακτῆρας. ὥστε καὶ
σὺ μετάπεμψαι τῆς ὅλης ἠπείρου τοὺς σατράπας· ἔστι γάρ σοι ἔθνη Περσῶν 9
καὶ Πάρθων καὶ Ἐλυμαίων καὶ Βαβυλωνίων καὶ τῶν κατὰ τὴν Μεσοποτα-
μίαν καὶ τὴν Ἰλλυρίαν χώραν, ἵνα μή σοι τὰ Βάκτρων καὶ τὰ Ἰνδῶν ἢ
τῶν Σεμιράμεως μελάθρων εἴπω. ἔστι γὰρ ἔθνη τούτων ρπ'· στράτευσον 10
ἐξ αὐτῶν † κἂν δέκα ἔθνη τοὺς θεούς. δυνατοὶ γάρ ἐσμεν τῇ βαρβαρικῇ
δυνάμει καὶ τῷ πλήθει θαμβῆσαι τοὺς πολεμίους.'
Ἕτερος εἶπε· 'Καλῶς μὲν συνεβούλευσάς, ἀλλὰ ἀνάξια· μία γὰρ 11
ἐνθύμησις Ἑλλήνων κατανικᾷ τοὺς ⟨τῶν⟩ βαρβάρων ὄχλους, ὥσπερ καὶ

---

1 ἠδέον A καὶ (εἰ Arm.) νῦν συμφέρον ἐστίν B' Arm. εἰ γοῦν καλὸν ὑμῖν δοκεῖ Byz. ἐθνῶν A: βαρβάρων Arm. (B') 3 ὀξύαθρις A *Ocsiather* Leo *Oxyathrus* (?) Val. Ὀξυδέρκης B' —δάρκης Byz. Arm. 4 θάρσος αὐτῷ παρέχεις ἐπιβῆναι τῇ Περσίδι B' Arm. Leo 5 αὐτὸν A, corr. e B' Byz. 6 οὐ στρατηγὸν ἐπ. τ. π. ὥσπερ σατράπαι A, corr. e B' Arm. (qui addit ὃς τοῖς σατράπαις σου πιστεύεις, cf. Byz.) 8 πρῶτος ὁρμῶν εἰς τοὺς πολέμους καὶ προασπίζων τ. στρ. B' Arm. (Val.) πολεμεῖν A 9 ἀπολαμβάνει A, corr. e B' Byz. 11 πάντα γ. ποιῶν (νικῶν Arm.) B' *omnia ipse faciens viriliter* Leo *labore praesenti semper consilia subsecutus* Val.: conveniret ἀντιλαμβανόμενος 12 κατὰ etiam cett. γενναιότατα ut vid. A 17 post Πάρθων add. καὶ Μήδων B' exp. καὶ τὰ κατὰ Cf. Act. Ap. 2, 9 18 τὴν Ἰ. χώραν A Byz. Leo: Λιβύων Arm. om. Val. B' Ἰβηρίαν Ausf. σου A 19 τῶν: τὰ A εἰπὼν A ρπ' A cett.: ρν' Leo 20 ἐξ αὐτῶν στρ. εἰ δυνατόν σοι τοὺς θεούς Arm. et B', qui add. ἔχειν εἰς συμμαχίαν. *quaeramus auxilium a diis* Leo. Fuitne κἂν δέῃ παρακάλει? εἰ γὰρ καὶ μὴ ἰσχύομεν βάρβαροι τῷ κράτει τοῦ σώματος νικᾶν τοὺς Ἕλληνας, ἀλλά γε τῷ πλ. τῶν ὄχλων θαμβήσομεν τ. π. Arm. (Val. Byz.) 21 τὰ πλήθη A πολέμους A 22 ἕτερος: Δαρεῖος B' Byz. exp. οὐδενὸς ἄξια (om. B') 23 cf. ad p. 2, 10

εἷς κύων Λακωνικὸς ὅλην ἀγέλην ποιμνίων ἀποδιώκει.᾽ οὕτως αὐτῶν
βουλευομένων Δαρεῖος συναθροίζει τὰ πλήθη.

Ὁ δὲ Ἀλέξανδρος ὁδεύσας τὴν Κιλικίαν ἦλθεν ἐπί τινα ποταμὸν 8
Ὠκεανὸν καλούμενον, οὗ τὸ ὕδωρ κατάρρουν ἐστὶ καὶ διαυγέστατον. ἐπε- 2
θύμει δὲ ὁ Ἀλέξανδρος ἐν αὐτῷ λούσασθαι [ὃς] καὶ ἀποδυσάμενος ἐνήλατο
εἰς τὸν ποταμὸν καὶ ἀνῆλθεν, τὸ δὲ λουτρὸν οὐκ ὠφέλησεν αὐτόν· εὐθὺς
γὰρ ἤλγησε τὴν κεφαλὴν καὶ χαλεπῶς διέκειτο. οἱ δὲ Μακεδόνες αὐτοῦ 3
κατακειμένου κατεπονοῦντο τὰς ψυχάς, μήπως ἐπιγνοὺς Δαρεῖος τὴν νόσον
αὐτοῦ ἐπιβῇ τοῖς στρατοπέδοις· καὶ γὰρ ἡ ψυχὴ αὐτοῦ πάντας ἐθάρσυνεν.

Καὶ δὴ Φίλιππος τοὔνομα φίλτατος Ἀλεξάνδρῳ ἰατρὸς ἐπηγγείλατο 4
αὐτῷ δοὺς καταπότιον σώζειν αὐτόν. καὶ ὁ μὲν ἑτοιμάζει· ἐπιστολὴ δὲ 5
δίδοται Ἀλεξάνδρῳ ὑπὸ Παρμενίωνος πεμφθεῖσα στρατηγοῦ τυγχάνοντος,
ὡς ἐπείσθη ὑπὸ Δαρείου Φίλιππος, ἵνα ἐὰν λάβῃ εὐκαιρίαν φαρμάκῳ ἀνέλῃ
τὸν Ἀλέξανδρον, ἐπαγγειλάμενος δοῦναι αὐτῷ ἀδελφὴν ἰδίαν πρὸς γάμον
ὀνόματι Δαδιφάρταν καὶ κοινωνὸν γενέσθαι τῆς βασιλείας. ‛ὅθεν φύλασσε 6
σεαυτὸν ἀπὸ τοῦ Φιλίππου.᾽ Ὁ δὲ Ἀλέξανδρος ἀναγνοὺς τὴν ἐπιστολὴν
οὐκ ἐταράχθη — ᾔδει γὰρ τὴν γνώμην τοῦ Φιλίππου — ἔθετο δὲ ⟨ὑπὸ
τὸ⟩ προσκεφάλαιον τὴν ἐπιστολήν· παριὼν δὲ ὁ ἰατρὸς ἐπέδωκε τὸ πόσιμον
φάρμακον Ἀλεξάνδρῳ. ὁ δὲ λαβὼν τὴν κύλικα ἐπὶ πολὺ ἔβλεψε τῷ Φι- 7
λίππῳ· ὁ δὲ Φίλιππος εἶπε· ‛Δέσποτα βασιλεῦ, μηδὲν φοβοῦ· ἀνέγκλητόν
ἐστι τὸ φάρμακον.᾽ ὁ δὲ Ἀλέξανδρος προσθέμενος ἐξέπιε τὸ φάρμακον
καὶ μετὰ τὸ ποτὸν τότε δέδωκε Φιλίππῳ τὴν ἐπιστολήν. ὁ δὲ ἀναγνοὺς 8
τὰ κατ᾽ αὐτοῦ γραφέντα εἶπεν· ‛Ἀλέξανδρε, οὐχ ὅμοιόν με εὑρήσεις τοῖς
ἐγγεγραμμένοις.᾽ καὶ ὁ μὲν Ἀλέξανδρος περισωθεὶς τῆς νόσου περιεπλάκη
τῷ Φιλίππῳ καὶ εἶπεν· ‛Ἔμαθες οἵαν ἔχω περὶ σοῦ γνώμην· πρότερον 9
γὰρ πιὼν τότε σοι ἀναδέδωκα τὴν ἐπιστολήν, πιστεύσας ἐμαυτὸν τῷ ὀνό-
ματι· ᾔδειν γὰρ ὅτι Φίλιππος κακὸν οὐκ ἐβούλετο Ἀλέξανδρον ποιεῖν.᾽

2 nempe βουλευσαμένων ut Arm. Byz. 3 non opus διοδ. τόπον A 4 Ὠκεανὸν A cett.: *Cydnum* Val. καθαρόν Arm. Müll. 7 ψυγεὶς ἤλγ. B′ Arm. Leo κεφ. καὶ πάντα τὰ ἐντὸς αὐτοῦ B′ Arm. 8 κατεπ.: ἐνόσουν B′ 9 ἐπιβῇ σὺν τοῖς στρατεύμασιν Arm. οὕτως μία ψ. Ἀλεξάνδρου τοσαύτας ψυχὰς τῶν στρατοπέδων ἐθ. B′ Arm. 10 φιλαίτατος ἀλεξάνδρου A 11 ὁ δὲ Ἀλ. πρόθυμος ἐγένετο τοῦ δέξασθαι post αὐτόν add. B′ cett. 12 ἀπὸ A 14 ἐπηγγειλ. A, debebat ἐπαγγειλαμένου aut supra ὡς ἔπεισε Δαρεῖος ut Arm. B′ Byz. 15 Δαδδιφέρταν Byz. Δαγιφ- Arm. βασ. καὶ ὑπέσχετο Φ. τοῦτο ποιεῖν B′ Arm. 18 προσκεφαλὴν A, corr. e Byz. Arm. *ad caput lectuli* Val. παρὼν A παρῆν Byz. προσελθὼν B′ ἐλθὼν Arm. ἀπέδωκεν A 19 post Ἀλεξ. add. εἰπών· πίε δέσποτα βασιλεῦ καὶ ἀπαλλάσσῃ τῆς νόσου B′ Arm. Byz. (Leo) post Φιλ. add. λέγων· πίνω Φίλιππε ἐμαυτὸν πιστεύσας σοι Arm. Byz. (B′) 21 nempe προσέμενος Ἀλ. εἶπεν· ἰδοὺ πίνω, κ. εὐθέως ἔπιε B′ Arm. (Byz.) 22 ἀν. καθ᾽ αὐτὸν εἶπε B′ 25 περὶ σὲ A πρὸς σὲ B′ Byz. 27 βουλεύσεται Arm. Byz. ἐβουλεύσατο B′

ὁ δὲ Φίλιππος εἶπεν· ‘Ἀλέξανδρε, νῦν κόλασον τὸν πέμψαντά σοι τὴν 10
*ἐπιστολήν· αὐτὸς γὰρ ἔπεισέ με τοῦτο ποιῆσαι καὶ λαβεῖν τὴν Δαρείου
ἀδελφὴν πρὸς γάμον. ἐμοῦ ⟨δὲ⟩ ἀπαρνουμένου ἴδε οἵῳ με ἐπεχείρησε
πράγματι ἀπολέσαι.’ ταῦτα ἐξετάσας ὁ Ἀλέξανδρος καὶ εὑρὼν αἴτιον τὸν* 11
Παρμενίωνα ἐκόλασεν αὐτόν.

Κἀκεῖθεν παραλαβὼν τὰ στρατεύματα ἐπὶ Μήδους ἠπείγετο καὶ τὴν 9
*μεγάλην Ἀρμενίαν, καὶ ταύτας δουλωσάμενος ⟨καὶ⟩ ὁδεύσας ἱκανὰς ἡμέρας
ἀνύδρους τόπους καὶ φαραγγώδεις [καὶ] διὰ τῆς Ἀρειακῆς παραγίνεται εἰς
τὸν Εὐφράτην ποταμόν. καὶ τοῦτον γεφυρώσας ψαλίσιν καὶ σιδηρέαις* 2
*κνήμαις κελεύει τοῖς στρατεύμασι διαπερᾶν· ὡς δὲ ἑώρα αὐτοὺς δειλαινομένους, κελεύει τὰ κτήνη καὶ τὰ πρόβατα καὶ τὴν τροφὴν πρῶτον διαπερᾶν,
ἔπειτα καὶ αὐτὰ τὰ στρατεύματα [διαπερᾶν]. οἱ δὲ ἐδειλαίνοντο ὁρῶντες* 3
*τὴν ἐπίρροιαν τοῦ ποταμοῦ, μὴ διαλυθῶσιν αἱ ψαλίδες. ὁ δὲ Ἀλέξανδρος
παραλαβὼν τοὺς παρασπιστὰς πρῶτος διεπέρασεν.*

Εἰσι δὲ Τίγρις ποταμὸς καὶ Εὐφράτης διὰ τῆς Μεσοποταμίας καὶ 4
*Βαβυλῶνος, οἵτινες ἀπορρέουσιν εἰς τὸν Νεῖλον ποταμόν. φασὶ γὰρ ⟨ὅτι⟩,
ὅτε Νεῖλος εἰς τὴν Αἴγυπτον ἔρχεται, τότε οὗτοι οἱ ποταμοὶ κενοῦνται,
⟨ὅτε δὲ⟩ ἀποβαίνει τῆς Αἰγύπτου πλημμυροῦσιν.*

Ἐπεὶ οὖν διεληλύθεσαν πάντες, ἐκέλευσεν ὁ Ἀλέξανδρος πάντα τὰ 5
*ζεύγματα τοῦ Εὐφράτου ἐκκοπῆναι. τῶν δὲ στρατιωτῶν ἐπὶ τούτῳ πλεῖον
δειλανθέντων καὶ λεγόντων, ὡς εἰ γένηται ἡμᾶς ἀνατραπῆναι, πῶς ἔχομεν
περᾶσαι; ὁ [δὲ] Ἀλέξανδρος ἀκούσας, συνάξας τοὺς στρατάρχας καὶ τὰ ὅλα
στρατόπεδα εἶπεν· ‘Καλὰς ἐλπίδας μοι δίδοτε, τοῦτο ἔχοντες κατὰ γνώμην.* 6
*αὐτὸ οὖν ἐγὼ ἐποίησα, ἵνα ἢ πολεμοῦντες νικήσωμεν ἢ ἡττηθέντες ἀπολώμεθα· οὐ γάρ ἐστιν ὁ πόλεμος τῶν φευγόντων, ἀλλὰ τῶν διωκόντων.
ὄμνυμι γὰρ τὴν ἐπάνοδον τὴν ἐν Μακεδονίᾳ γινομένην μοι, ὡς [εἰ] νική-* 7

2 τοῦτο π.: *φαρμάκῳ ἀναιρῆσαί σε* B′ Arm. Byz. *λαβὼν* A *ἐφ’ ᾧ λάβοι* B′ Byz. 3 *ἴδε δὲ* A 4 nolui *πλάσματι* *εὑρ. ἀναίτιον τὸν Φίλιππον τὸν Π.* Arm. B′ Byz. 5 *ἐκόλασεν* A Byz.: *διέφθειρε* Arm. *iussit decollari* Leo *poenas capite dependit* Val. corrupit B′ 7 *ταύτην* B′ *ταύτας* etiam Byz. Leo Arm. Noli *διοδ.* (cf. p. 74, 3) 8 *φαλαγγώδεις* A *δαρειακῆς* A *Ἀρειανῆς* B′ (unde *Ἀραυηνῆς* Ausf.) *Ariake* Arm. *Andriaci* Leo 9 *ἐψάλλισεν* A *navibus atque ponte* Val. 11 *πρῶτον* Arm. B′ (praeterea *πάντων*): *πάντων* A′ 12 *μὴ τολμώντων δὲ αὐτῶν περᾶσαι λαβὼν* B′ Arm. 14 add. B′ (Byz. Arm.) *διῆλθεν οὖν καὶ ἡ παράταξις αὐτοῦ πᾶσα* 15—18 om. B′ Val. 15 *ἔστι* A (addideris *ῥέων*) *ποτ. μέγας* Arm. (Byz.) 16 cf. Paus. II 5, 3. Philostr. Vit. Ap. I 20, 2 17 *N. ἐν ἐτησίοις χρόνοις* Arm. 18 *πλημμυρῶσιν* A 19 *διεληλύθ* *πάντας* A 21 *διαλυθέντων* A 22 *ἀκ. τὸν εἰς αὐτοὺς γενόμενον θρύλον* B′ Val. Arm. *στρατιάρχας* A 23 *δίδ. τῆς νίκης* B′ Byz. Arm. Val. *καταγνῶναι* A *ἔχοντες κατὰ νοῦν ἡττώμενοι συστρέψαι* Byz. cf. B′ Arm. 24 *διὰ τοῦτο οὖν* B′ Byz. Arm. Leo 26 *ὄμνυμι* A Arm. Leo *ὁμοῦ γὰρ τὴν νίκην καὶ τὴν ἐπάνοδον εἰς Μακ. ποιήσαντες νικηφόροι ὑποστρέψομεν* B′ (Byz.) *iuro quia nullo modo* (i. e. *ὄμνυμι γὰρ οὐδαμῇ?*)

*σαντες τοὺς βαρβάρους εἰς τὴν Ἑλλάδα ὑποστρέψομεν. ὑμεῖς μόνον θαρρεῖτε
τῇ γνώμῃ, καὶ ἡ συμβολὴ τοῦ πολέμου παίγνιον ἡμῖν ἐστιν.’
Οὕτως αὐτοῦ θαρσύναντος ἐτίμων αὐτὸν τὰ πλήθη καὶ ἐσκηνοποιοῦντο.* 8
*ἐκάθηντο δὲ καὶ τὰ Δαρείου στρατόπεδα ἐπάνω τοῦ Τίγριδος ποταμοῦ·
καὶ ἦσαν οἱ προηγούμενοι σατράπαι πέντε. συνέβαλλον μάχην, καὶ ἀμφό-
τερα τὰ τάγματα γενναίως ἐπολέμουν. καί τις τῶν Περσῶν ὄπισθεν τοῦ* 9
*Ἀλεξάνδρου ἐλθών, Μακεδονικὰ ὅπλα λαβὼν ὡς ἴδιος κατήνεγκε τὸ ξίφος
κατὰ τῆς κεφαλῆς Ἀλεξάνδρου καὶ ἔθραυσεν αὐτοῦ τὴν κορυφήν. οὗτος
δὲ συλλαμβάνεται ὑπὸ τοῦ στρατοῦ καὶ παρίσταται τῷ Ἀλεξάνδρῳ· ⟨ὁ δὲ⟩
αὐτῷ λέγει· ‘Ὦ γενναῖε, διὰ τί τοῦτο ἐποίησας;’ ὁ δὲ εἶπεν· ‘Δέσποτα,* 10
*μή με δόκει Μακεδόνα εἶναι. Πέρσης γάρ εἰμι καὶ ἐπηγγειλάμην Δαρείῳ
ἀποτεμεῖν σου τὴν κεφαλήν, ἵνα λάβω παρ’ αὐτοῦ γέρας ἀμοιβήν. ἐπηγ-
γείλατο γάρ μοι δώσειν βασιλικὰς χώρας καὶ θυγατέρα αὐτοῦ.’ ἀκούσας* 11
*ὁ Ἀλέξανδρος συνῆξεν ὅλον τὸν στρατὸν καὶ ὁρώντων πάντων ἀπέλυσε τὸν
Πέρσην εἰπών· ‘Ἄνδρες Μακεδόνες, τοιούτους δεῖ στρατιώτας εἶναι.’
Ἐπεὶ οὖν οἱ βάρβαροι ἐλείποντο ἐπιτηδείων χρείας, συστροφὴν ἐποι-* 10
*οῦντο εἰς τὴν Βακτριανῶν χώραν· ὁ δὲ Ἀλέξανδρος κρατήσας τῶν τόπων
ἐπιμένει ἐκεῖ. ἕτερος δέ τις σατράπης Δαρείου παραβουλευσάμενος προσέρ-
χεται τῷ Ἀλεξάνδρῳ καὶ λέγει· ‘Δέσποτα Ἀλέξανδρε, εἰμὶ μὲν σατράπης* 2
*Δαρείου καὶ μεγάλα αὐτῷ κατώρθωσα, ⟨οὐ μὴν⟩ εὐχαριστήθην ὑπ’ αὐτοῦ·
ὥστε σύ μοι δὸς μυρίους στρατιώτας καὶ παραδίδωμί σοι τοὺς ἡμετέρους
στρατιώτας καὶ σατράπας καὶ αὐτὸν δὲ τὸν Δαρεῖον.’ ὁ δὲ Ἀλέξανδρος* 3

---

videbitis Mac. nisi prius vicero cunctos barbaros Leo *deos . . . vades dixerim, nihil omnino posse oboriri impedimenti, quin . . . debitam victoriam capessatis* Val. *μὴ γενήσεσθαι, ἐὰν μὴ νικ.* Ausf.

1 *ὑποστρέψωμεν* A 2 *καὶ εἰ συμβῆι* A, corr. e B′ cett. exp. *ἔσται* 3 *θαρσύνοντος* A, aor. dedi e B′ Arm. post *πλήθη* add. *κ. εὐθέως τῷ πολέμῳ ἐπέβαινον* B′ (Byz. Arm.) 4 *τῶι τίγριδι ποτ* A 5 *εἰσὶν* A *προηγ.* A Byz. Leo: *ὀπισθοφύλακες* Arm. 6 *τῶν περὶ ὧν* A 7 *ἴδιος* A: *σύμμαχος Μακεδόνων γενόμενος* B′ Arm. *Μακεδόσι συμμιγεὶς ὡς στρατιώτης τούτων* Byz. *mixtus militibus suis* Leo 8 *ἐθαύμασεν* A nisi *κόρυθα* scripsit, dicere voluit; cf. Arm. Val. Leo *οὕτως* (*εὐθέως* B′ Leo Val.) *δὲ συλλαλήσαντες ὑπό τε στρ.* A 9 *παρ. τούτωι ἀλ. αὐτῶι λέγοντος* A 10 *βασιλεῦ Ἀλέξανδρε, μὴ πλανήσῃ σε τὰ Μακεδονικά μου ὅπλα* B′ Byz. Arm. 11 post *εἰμὶ* sic B′: *Δαρείου σατράπης· κ. προσελθὼν Δαρείῳ εἶπον αὐτῷ· ἐάν σοι κομίσω Ἀλεξάνδρου τὴν κεφαλήν, τί μοι χαρίζει; αὐτὸς δὲ ἐπηγγείλατο* (= v. 12), sim. Byz. Arm. (Leo cum A facit) 13 *αὐτ. πρὸς γάμον. ἐγὼ οὖν παραγενόμενος πρὸς σὲ ἀναλαβόμενος σχῆμα Μακεδονικὸν ὃ ἤλπιζον οὐκ ἐπέτυχον* B′ (Byz. Arm. Val.) 15 *δὴ* A 16 *ἐλίποντο ἐπειὸν χρείας* A *λειφθέντες τὴν χρείαν τῶν σιτίων* Byz. (B′). Praestat fort. *ἐθλίβοντο* (cf. p. 39, 14) *ἀποστροφὴν* B′ 17 *βακτηριανῶν* A *τὸν τόπον* A 18 fuitne *ἐπιβαίνει*? *εἰς τὸν θάνατον δοὺς ἑαυτὸν* Arm. = *παραβολευσ.* Cf. p. 104, 11 20 *μέγα* A *κατορθώσας* A *καὶ οὐκ* add. B′ Arm., melius fort. Byz. *ηὐχαριστήθην* *αὐτὸν* A 21 *δῶις ō στρ.* A, corr. e cett. *σοι τὸν ἐμὸν βασιλέα Δαρ.* B′ Byz. Arm. (Leo Val. ut A)

εἶπε· ʽΠορεύου, καὶ βοήθει τῷ ἑαυτοῦ βασιλεῖ· οὐ γὰρ πιστεύω σοι τοὺς
ἀλλοτρίους τῷ τοὺς ἰδίους προδιδοῦντι.ʼ
Ἔγραψαν δὲ οἱ ἀπ᾽ ἐκείνων ⟨τῶν⟩ τόπων σατράπαι τῷ Δαρείῳ· 4
ʽʽὙδάσπης καὶ Σπινθὴρ θεῷ μεγάλῳ Δαρείῳ χαίρειν. φθάνομέν σοι τὸ
πρότερον δηλοῦντες Ἀλεξάνδρου ἐπίβασιν γενομένην, καὶ νῦν σοι φανερὸν
ποιοῦμεν φθάσαντα αὐτὸν ἐπὶ τῶν τόπων καὶ πολιορκεῖν τὴν χώραν καὶ
ἀνῃρηκέναι ἡμῶν πλείστους· ἡμεῖς δὲ αὐτοὶ κινδυνεύομεν σφόδρα. ὥστε 5
κατατάχυνε μετὰ δυνάμεως τοῦ προφθάσαι πρὸ τοῦ εἰσβῆναι· δυναμικὸν
γὰρ τὸ Μακεδονικὸν ἐφάνη στράτευμα. ἔρρωσο.ʼ Λαβὼν δὲ Δαρεῖος καὶ
ἀναγνοὺς ἔπεμψεν ἐπιστολὴν Ἀλεξάνδρῳ. [Ἐπιστολὴ Δαρείου Ἀλεξάνδρῳ.]
ʽΔαρεῖος Ἀλεξάνδρῳ λέγει. ἔγραψας ἡμῖν ἐπιστολὴν ὑπερήφανον, δι᾽ 6
ἧς ἡμᾶς ἐπιζητεῖς ἐντυχεῖν σοι. οὐχ οὕτως ἤδη † ἕξεις ἂν τὴν ἄγκυραν,
ὥστε τοὺς ἀπὸ ἀνατολῶν θεοὺς εἰς δύσιν κατοικεῖν. μαρτύρομαι δὲ ἐφ᾽
οἷς με διέθου· δοξάζω γὰρ τὴν μητέρα εἰς θεοὺς [σε] πεπορεῦσθαι, γυναῖκα
⟨δὲ⟩ μὴ ἐσχηκέναι. ἐγὼ οὐ παύσομαι τὴν ὕβριν ἐπεκδικῶν. ἐγράφη γάρ 7
μοι, ὡς εὐσεβῶς [μοι] διέθου εἰς τοὺς ἐμούς· εἰ ἄρα καὶ δικαίως ἐποίεις,
καὶ τὰ πρὸς ἐμὲ δυνατόν . . . ., † τοὺς ἰσοθέους τιμὰς ἀπονέμων τοῖς
ἐμοῖς. ἔξεστί σοι λοιπὸν τῶν ἐμῶν μὴ φείδεσθαι· κακούχει δὲ καὶ τιμώρει 8
ὡς πολεμίου τέκνα· οὔτε γὰρ [ὡς] εὐεργετῶν αὐτὰ ἕξεις με φίλον οὔτε

---

3 potius ἐπ᾽ ἐκ. 4 σπινχθὴρ A, de var. lect. cf. ad p. 44, 10 μέγα A 5 nempe δηλώσαντες ἀλεξάνδρωι ἐπίτασιν A γεν. τῷ ἔθνει ἡμῶν B′ Arm. 6 φθάσαντες A τὸν τόπον A εἰς τοὺς τόπους τούτους Arm. *in hanc terram* Leo 7 ἀναιρηκέναι ἡμᾶς A πλ. Πέρσας B′ (cf. Arm.) 8 nempe πρ. ⟨αὐτὸν⟩ *antequam ingrediatur ad te* Leo Byz. 9 γὰρ καὶ πλεῖστον B′ Arm. 10 δαρ. ἀλεξάνδρου A 11 ἔγρ. — 13 κατοικεῖν om. B′ ἔγραψαν A. Apud nostrum nil tale scripserat, sed cf. Arr. II 14, 8 etc. (Ausf. 157) 12 ἔξυσα ('delevi') Arm. *quod si hoc poterit fieri, orientales dii pergant habitare in occidente* Leo ηὐξάμην δ᾽ ἅπασι θεοῖς ἐγὼ τοῦτο μὴ πρᾶξαι, ὥστε Byz. ἐξείλκυσαν Ausf. (sc. θεοί), om. θεοὺς v. 13. Displicent et ἐξῆψας [ἂν] et ἔσεισας γῆν ὀχυράν 13 τοὺς: οὖν A an κατοικίζειν ut Arm.? *non adeo pertaesos deos . . . orientis suae esse sedis existimo, ut ad occidua . . . migraturi sint* Val. δὲ ⟨θεούς⟩ Ausf. ex Arm. (Byz.) 14 δόξω A ἡγήσομαι Arm., corr. e Byz. πορεύεσθαι B′ Byz. Arm. 15 μηδὲ τέκνα μοῦ γεγενῆσθαι add. B′ cett. ἐκζητῶν B′ Arm. Leo (Byz.) 16 εὐσεβῶς διετέθης πρὸς τοὺς ἐμούς B′ ἐπ., τὰ πρὸς ἐμὲ δίκαια φυλάξας (vel ἐφύλαξας) B′ εἰ γὰρ δ. ἐπ. καὶ τὰ πρὸς ἐμὲ δ. φ., ἔρχεσθαι πρὸς ἐμὲ ἠβούλου ἂν κ. διὰ τούτων τ. ἰσ. τ. ἀπονέμειν τοῖς ἐ. Arm. *si faceres . . . eorum aliquid, quod iracundiae meae mederi potuisset, ipse ad me supplex venires . . . foret enim, ut vertente ad veniam animo his te honoribus prosequeremur, quibus te diis aequatum esse gratularere* Val. Antiquam sententiam servavit Byz.: ἂν ἄρα πάντα δίκαια προσεπετέλεις ὅλως, ἦν δυνατὸν ἐλθεῖν καὶ σὲ πρός με τὸν σὸν δεσπότην, ἐξιλεώσασθαι ζητῶν πάντα τὰ τολμηθέντα. τούτου μὴ γεγονότος δὲ τί τοῖς ἐμοῖς προσάγεις τιμὰς ἰσοθέους; 18 κακουχεῖν δὲ ὡς Arm. 19 εὐεργέτην A αὐτὰς B′ Arm. melius μοι φίλος οὔτε ἄδικον A

ἀδικῶν διὰ τοῦτο ἐχθρόν. ἐν γὰρ τῷ αὐτῷ κεῖταί μοι ἀμφότερα. ἐσχάτην
οὖν ἀπόκρισιν δήλωσον ἡμῖν, ἵνα εἰδῶμεν.'
Ἀναγνοὺς ὁ Ἀλέξανδρος καὶ μειδιάσας ἔγραψεν αὐτῷ· [Ἐπιστολὴ 9
Ἀλεξάνδρου Δαρείῳ]. 'Ἀλέξανδρος βασιλεὺς βασιλεῖ Δαρείῳ χαίρειν. τὰς
κενὰς φλυαρίας σου καὶ ἀπονοίας ματαίας τε μανίας θεοὶ ἐμίσησαν μέχρι
τέλους. [καὶ] οὐ παύσῃ ἔτι βλασφημῶν; οὐ φοβούμενος γὰρ τετίμηκα τοὺς 10
σοὺς οὐδὲ ἐλπίζων ἐλεύσεσθαί σε ἐκολάκευσα, ἵνα παραγενόμενος εὐχαριστήσῃς
ἡμῖν. ⟨μὴ⟩ παραγίνου· οὐ γὰρ ἄξιον ἦν τὸ ἐμὸν διάδημα τοῦ σοῦ; οὐ
μὴν τῆς περὶ πάντας εὐσεβείας μου . . . περισσότερον καὶ τοὺς σοὺς ἐλεήσας
ἐξ οὐρανοῦ εἰς τὸ ἔδαφος πεπτωκότας. ἐσχάτην οὖν σοι ἐπιστολὴν γράφω·
εὐκοπώτερον ἦν ἄλλως με πολεμεῖν σοι ἢ πλησίον ἐλθεῖν πρός σε.'
Καὶ πέμψας ἕτοιμος ἐγένετο· καὶ γράφει μὲν ἐγκύκλιον τοῖς ὑπ' 11
αὐτῷ σατράπαις· 'Βασιλεὺς Ἀλέξανδρος σατράπαις τοῖς ὑποτεταγμένοις 2
μοι Συρίας ⟨καὶ⟩ Κιλικίας καὶ Καππαδοκίας καὶ Παφλαγονίας ⟨καὶ⟩ Ἀραβίας καὶ τοῖς ἑτέροις ἔθνεσι χαίρειν. βούλομαι ὑμᾶς χιτῶνας κατασκευάσαντας ἀνὰ χιλίους πέμπειν ἐν Ἀντιοχείᾳ [καὶ] τῆς Συρίας· καὶ ὃ ἐὰν τελευτήσῃ τετράποδον, τούτων αἱ δοραὶ ἐξαποστελλέσθωσαν εἰς Ἀντιόχειαν,
ὅπως οἱ στρατιῶται ὑποδέωνται περικνημῖσι καὶ ὑποδέσεσι. τὰς δὲ ὁπλο- 3
θήκας τὰς ὑποτεταγμένας, ὧν ὁ ἀριθμὸς ἑκατὸν † διασκεδάζεται ἐξαποστείλατε † αὐτούς. διατεταγμένοι γάρ εἰσι κάμηλοι ἀπὸ τοῦ Εὐφράτου

1 κέκριται Arm. ἕν μοι δοκεῖ καὶ τὰ διττά Byz. ἔσχατον A *ultimo namque sententiam narrabo vobis* Leo cf. Val. 2 ἴδωμεν A haec contracta; εἰδ. τὸ ἄξιον τῆς ἡμετέρας ὠφελείας Arm. ὅπως ἡμεῖς τὰ βουλητὰ πράξωμεν εἰς τὸ μέλλον Byz. 4 ἀλεξάνδρω A 5 μανίας: ὁμιλίας B′ Byz. Arm. θεοῖς νεμεσῆσαν A, corr. e cett. (possis ταῖς φλυαρίαις ἐνεμέσησαν) 6 καὶ οὐ etiam B′: οὐ γὰρ παύῃ Byz. Arm. βλ. κ. κενὰ ὑπονοῶν B′ Arm. φοβ. σὲ B′ Byz. Leo τ. ποτὲ σοὺς B′ (cf. ad v. 8) τετίμηκες A 7 εἰς διαλλαγὴν ἐλ. B′ (Byz.) Arm. 8 ἡμᾶς A, et possis ⟨ἡμῖν· μὴ οὖν πρὸς⟩ ἡμᾶς (cf. B′) ἀντάξιον Ausf. δόγμα A, corr. e cett. οὐ μὴν κωλύσεις (om. etiam Arm.) τὴν . . εὐσέβειαν, ἀλλὰ κ. περισσ. πρὸς τοὺς ποτὲ σοὺς ἐνδείξομαι ἀγαθὴν γνώμην B′. Possis ἀπείρξεις με, ἣν ἐνδείξομαι 9 ἐλεήσας Raabe: καλέσας A Arm. τιμήσας τούτους ἀνήγαγον Byz. 11 εἶναι ἄλλος A πλησίον A γνησίως B′ Arm. *cave itaque et habeo mentem in te* Leo ἐλθεῖν scripsi: ἔχειν A Arm. ἔχων B′ ὁμιλεῖν σοι ἢ γν. ἔχειν Ausf. 12 ἕτ. πρὸς πόλεμον B′ Byz. Arm. Val. μὲν abundat 13 solet αὐτόν 14 Συρίας etiam Leo: Φρυγίας cett. 15 possis aut τῶν ἑτέρων ἐθνῶν (sic Arm.) aut [ἔθνεσι] ut B′ Byz. βουλόμενος A κατασκευάσαντα ἀνὰ χιλίων A *unusquisque mille vestimenta* Leo κατ. πλήθους πολλοῦ B′ Arm. (cf. Val.) 16 πέμπει A τῆι συρίαι A ὃς A *ubicumque* (i. e. οὗ) Leo 18 ὅπερ A ὑπόδέντιον περικνήμεσιν A κ. ὁπλ. κατασκευάζειν, ὧν ἕκαστος τὸν ἀριθμὸν ἔσχετε Arm. τὰς δὲ ὁπλ. ἃς ἐσκευάσατε ἀποστείλατε ἡμῖν B′ ἀνοίξατε πάσας τὰς ὁπλ. κ. πᾶσαν τ. κατασκευὴν λαβόντες τῶν ἁρμάτων στείλατε πρὸς Συρίαν Byz. Possis ἀρ. ἑκάστῳ γνωστός, κατασκευάσαντες ἐξ. αὐτίκα 20 κάμ. τρισχίλιοι B′ Byz. Arm. ἀπὸ B′ Byz. Arm.: μέχρι A

ποταμοῦ ἕως Ἀντιοχείας . . . ὥστε † τὴν ἐπιχρείαν πᾶσαν συναντᾶν.
ἔρρωσθε.’
Γράφει δὲ καὶ σατράπης Δαρείῳ περὶ τῶν ἐνεστώτων· ‘† Οἰμητάδης 4
θεῷ Δαρείῳ χαίρειν. εὐλαβῶς ἔχω τοιαῦτα γράφειν σοι, ἀναγκάζομαι δὲ
ὑπὸ τῶν πραγμάτων. αὐτὸς γὰρ τετραυμάτισμαι, δύο μεγιστάνοι ὤλοντο,
Κωμάρξης δὲ τραυματιαῖος γενόμενος ἀνεχώρησεν εἰς τὸ ἴδιον σκήνωμα.
Νανίας δὲ καὶ οἱ ὑπ’ αὐτὸν μεγιστάνοι διέβησαν πρὸς Ἀλέξανδρον εἰσόδια 5
λαβόντες καὶ βασιλικὰ χωρία παρέδωκαν σὺν ταῖς ἐνούσαις παλλακαῖς καὶ
Ὀλυμπιάδα τὴν τοῦ Μιθριδάτου ἀδελφὴν .. καὶ τὰ χωρία ἐνεπύρισαν.’
Γνοὺς ταῦτα ὁ Δαρεῖος ἔγραψε τῷ ἔγγιστα σατράπῃ † Πηνγάλῳ γενέσθαι 6
ἕτοιμον καὶ παρεμβολὴν θεῖναι· ἔγραψε δὲ καὶ τοῖς γείτοσι βασιλεῦσιν, ὡς
‘μελλόντων ἡμῶν ἱδρῶτας ἀπομάξασθαι ἀγωνίζεσθαι δεῖ ⟨καὶ⟩ ὑμᾶς πρός
τι ἔθνος Μακεδονικόν, οὓς οὐ πείθομαι πάνυ χαρῆναι ἐφ’ οἷς ἐτόλμησαν.’
προσέταξε δὲ καὶ τοῖς περὶ Κοβάρζην ὁδεύειν καὶ προάγειν [οἷς πείθομαι 7
πάνυ ἐπήγην].
Γράφει δὲ καὶ τῷ Πώρῳ δεόμενος βοηθείας· λαβὼν δὲ ὁ Πῶρος 12
γράφει· ‘Πῶρος βασιλεὺς Ἰνδῶν Δαρείῳ βασιλεῖ Περσῶν χαίρειν. ἀναγνοὺς
[δὲ] τὴν ἐπιστολὴν καὶ λυπηθεὶς τὴν ὁρμὴν πρός σε εἶχον, ὡς ἂν σκεψώ-
μεθα ... ἀλλ’ ἐμὲ κωλύει ἡ συνεχής μου νόσος. εὔθυμος οὖν ἄγε αἰσθό- 2

---

1 *ἑτέρας δὲ τρισχιλίας καμήλους, αἳ ἐν Ἀντιοχείᾳ εἰσίν, ἐκελεύσαμεν ἀπαντᾶν ἀλλήλαις, τὰς μὲν ἐπάγειν τὰς δὲ ἀπ’ αὐτῶν διαβιβάζειν* Arm. (cf. Byz.) *Ἀντ. τῆς Συρίας πρὸς τὸ διακονεῖν καθὼς προσετάξαμεν, ἵνα ἀκαθυστέρητον τ. ὑπουργίαν εὕρωμεν. ἐν σπουδῇ οὖν παραγίνεσθε πρὸς ἡμᾶς* B′ *ἵνα ἀ. τ. ὑ. ἔχωσι κ. ταῦτα ᾖ ἕτοιμα. ἔρρωσθε* Arm. (cf. Byz.) si nihil aliud, certe opus *ἐπὶ τὴν χρείαν π. σ.* 3 *Notares* Arm. *Nostadi* Leo *Νοστάρης* Byz. *οἱ. Μαδάτης* Ausf. 5 *μεγιστάναι* A 6 *Κωσάρης* Arm. *Coxari* Leo *Ὀξάρης* Byz. Cf. l. 14. *Ἀριοβαρζάνης* Ausf. nempe *τραυματίας* *πρὸς χώραν τὴν αὐτοῦ* Byz. *abiit in finibus suis* Leo post *σκήν.* add. *οἱ δὲ ἐχθροὶ ὅσα αὐτοῖς συμφέροντα ἦν ἀπήνεγκαν* Arm. 7 *Ἀννίας* Arm. *Ἀνανίας* Byz., om. cett. *εἰσοδίας* A *Einkünfte mitnehmend* Arm. recte, *honoravitque eos* Leo *σχόντες πρόσοδον πολλὴν παρ’ Ἀλεξάνδρου* Byz. (*διέβ. πρ. Ἀ. σὺν ταῖς παλλακίσι* B′ in fine epist.) 8 *λαβόντα* Ausf. *παρέδωκαν* A: *παρέδωκεν* (sc. Alex.) Leo *ἐνέπρησαν* Arm. 9 *Ὀλυμπ.* solus habet A *θριδάτου* A, corr. ex Arm. Leone (*civitas Mitriadis cum templo igne succendit*) supple *ἀπέκτειναν* ex Arm. *τὸ χωρίον* Arm. (Leo) Byz. 10 *τὸ ἔγγ.* A *Πιττακῷ* Byz. *Nostadi* Leo *ἐπιστολὴν ἄλλην* Arm., unde *ἄλλῳ* Ausf. *τοῖς ἔγγιστα στρατηγοῖς καὶ* (*στρ. κ.* om. Arm.) *σατράπαις* B′ Arm. 11 *ἕτοιμος* A *παρ. θ.* A (cf. B′): *ἐκεῖσε παραγίγνεσθαι* Arm. Possis *τὴν παρ. στεῖλαι* *γρᾶψον* A 12 *μέλλοντα* A possis *ἀπομόρξασθαι.* Dicit: ‘nobis laborantibus et vos laborate’ *δεῖ: δὲ* A 13 *τι* AB′: *τὸ* Arm. *οἷς* A (cf. v. 14) *λαρῆναι* A 14 *τοῖς ἐν Κῷ* Arm., *τῷ Περσικῷ στρατοπέδῳ* B′, om. cett. *προάγειν. λέγει· οὐ πιστεύω ἐν τῷ πάλαι ἀπόδειξιν εἶναι ἔργων* Arm. 15 an *πρ. καὶ ἐπείγειν*? 19 supple ex B′ Arm. (Byz.) *περὶ τῶν συμφερόντων* (*ὑμῖν*) *εὐθύμως δίαγε* B′

μενος, ὅτι οὐδὲ ἡμεῖς ὑποφέρομεν τὴν ὕβριν ταύτην. πρὸς ὃ βούλει οὖν
γράφε ἡμῖν· σοὶ γὰρ ὑποκείσονται αἱ ὑπ᾽ ἐμὲ δυνάμεις πᾶσαι καὶ τὰ πόρρω
δὲ ὑπακούσονται ἔθνη.'

Μαθοῦσα δὲ ἡ μήτηρ Δαρείου ταῦτα διεπέμψατο αὐτῷ κρυφῇ ἐπιστολὴν 3
τήνδε· "Ῥοδογούνη μήτηρ Δαρείῳ τέκνῳ χαίρειν. ἤκουσά σε συναθροίζοντα
ὄχλον καὶ βουλόμενον ἑτέραν μάχην συνιστᾶν πρὸς Ἀλέξανδρον. μὴ τὴν
οἰκουμένην ταράξῃς ἢ σαλεύσῃς· τὸ γὰρ μέλλον ἄδηλόν ἐστιν. ἔασον οὖν 4
ἐλπίδα ἐπὶ τὸ κρεῖττον, καὶ μὴ ἀποτομίᾳ χρησάμενος ἀναμφιβόλως τοῦ
ζῆν στερηθῇς. ἐσμὲν γὰρ ἐν τιμῇ παρὰ Ἀλεξάνδρῳ, καὶ μὴ ἡμᾶς ὡς
πολεμίου τέκνα ἀπώλεσεν· ὅθεν ἐλπίζω εἰς συνθήκας ὑμᾶς ἀγαθὰς ἐλεύ-
σεσθαι.' ἀναγνοὺς ὁ Δαρεῖος τὴν ἐπιστολὴν ἐδάκρυσε μιμνησκόμενος τῆς 5
ἑαυτοῦ συγγενείας· ἅμα δὲ καὶ ἐταράσσετο τῇ ψυχῇ καὶ τὴν τῶν Βακτριανῶν
χώραν προμαχεῶνα ἔσχεν.

Ὁ δὲ Ἀλέξανδρος τὴν πορείαν ἔγγιστα τῆς Περσίδος ἐποιεῖτο, ὥστε 13
τὰ τῆς πόλεως τείχη ὑψηλότατα ὄντα τοῖς Μακεδόσι κατάδηλα γίνεσθαι.
ἐπινοεῖ δέ τι ὁ φρενήρης Ἀλέξανδρος. τὰ γὰρ ἐκεῖ νεμόμενα ποίμνια 2
ἀποσπάσας τῶν νομῶν καὶ ἐκ τῶν δένδρων τοὺς κλάδους ἀφελὼν ἐπὶ τὰ
νῶτα τῶν τετραπόδων ἐπέδησεν, καὶ τῶν στρατοπέδων ὄπισθεν ἐβάδιζον
αἱ ποῖμναι. τὰ ⟨δὲ⟩ δένδρα συρόμενα ἐπὶ τῆς γῆς κόνιν οὐ τὴν τυχοῦσαν 3
ἀνήγειρεν, † ἐπεὶ οὖν ὁ κονιορτὸς μέχρι νεφῶν ἔφθασεν, ὥστε τοὺς Πέρσας
ὑπονοεῖν ἀμέτρητον αὐτὸν ἐπάγεσθαι ἔθνος.

ἐπεὶ δὲ ἐπῆλθε τῆς Περσίδος ἡμέρας ε', ἐζήτει ἄγγελον πέμψαι πρὸς 4
Δαρεῖον, πότε τὴν συμβολὴν ποιοῦσι. κοιμᾶται δὲ ὁ Ἀλέξανδρος καὶ ὁρᾷ 5
τὸν Ἄμμωνα ἐν σχήματι Ἑρμοῦ ἔχοντα κηρύκιον καὶ χλαμύδα καὶ Μακεδο-

1 ὡς ἡμῶν συμπαρόντων σοι κ. μὴ δυναμένων στέγειν τ. ὕβριν ταύτην B' (Arm.) πρὸς ὅ: 'quam ad rem me uti velis scribe' 2 σὺ γὰρ παρακείσονται A et παρακ. etiam C', corr. ex Arm. an πόρρωθεν ὑπ.? 5 ῥοδογοῦ· ἡ μῆρ A Ῥοδὼ Byz. δαρείου τέκνων A ἀκούσασα οὖν ἀθροίζοντα A, corr. ex Byz. ἀκούω B' Arm. 7 ἔασον ἐλπ. ἔχειν διαμένειν Arm. 'permitte nobis sperare rem sine pugna bene cessuram' 8 ἐναμφ. A, corr. Rad. 9 στερρηθῆις A ἀλεξάνδρου A debebat οὐχ ut B'; ⟨ἐπεὶ⟩ καὶ Rad. 10 ἀπολέσθαι A οὐχ ὡς πολ. μήτηρ αἰχμάλωτος Arm. ἐμὲ δὲ κατοικτείρησεν οὐχ ὡς ἐχθρῶν μητέρα Byz. (μητέρα B' quoque) add. Leo: *inducis malum super nos et facis nos perdere honorem, quem apud eum habemus. fili mi, noli praeparare matri tuae angustiam* ἡμᾶς A 11 μνησκόμενος A 12 ἐτ. καὶ ἔνευε πρὸς πόλεμον B' βακτηριανῶν A 13 προμαχῶνα A 16 possis δὲ τί, cf. B' Byz. τῶν . . . νεμομένων ποιμνίων ἀ. τὰς νομὰς A B', corr. ex Am. 18 τὸ στρατόπεδον A 20 noli corrigere ἐπεὶ: aliter pergere volebat ἕως Ὀλύμπου B' (Byz. Arm.) 21 ἔθνος: de taedis ad iumentorum caudas alligatis hic narrant B' Byz. 22 ἀπῆλθεν A (fuitne ἀπῆν?), ἐλθὼν πλησίον τῆς Π. Arm. B' πόλεως Περσ. B' *ab ipsa civitate* Leo ε': εὖ A ἀπὸ σημείων (vel -ου) ἡμερῶν ε' B' possis ⟨ἕως⟩ vel ⟨ἀπὸ⟩ σημ. ε' 'usque ad V. miliarium' vel ἀπῆν τ. Π. σημεῖα ε' (Usener Hl. Theodos. 178) 23 συμβουλὴν A ποιήσουσι B' Arm. 24 post χλ. add. καὶ ῥάβδον B' Arm.

νικὸν πιλίον λέγοντα αὐτῷ· ‛Τέκνον Ἀλέξανδρε, ὅτε σοι βοηθείας χρεία
ἐστί, τότε σοι πάρειμι μηνύων. ἐὰν πέμψῃς ἄγγελον πρὸς Δαρεῖον, προ-
δώσει σε. παραβούλευσαι καὶ σεαυτῷ ἄγγελος πορεύου ἀναλαβών μου τὸ
σχῆμα. ἐπικίνδυνον μὲν βασιλέα ὄντα ἑαυτοῦ ἄγγελον γενέσθαι, ἀλλὰ θεοῦ 6
βοηθοῦντος οὐδείς σοι ἔσται κίνδυνος.’ ἰδὼν δὲ τὸν χρησμὸν ἀνίσταται καὶ
χαίρων μεταδίδωσι τοῖς φίλοις· οἱ δὲ συνεβούλευον τοῦτο ποιῆσαι.

Καὶ δὴ παραλαβὼν γενναῖον σατράπην Εὔμηλον τοὔνομα τρεῖς ἵππους 14
ἔχων εὐσθενεῖς ὁδεύει καὶ παραγίνεται ἐπὶ τὸν Στράγγαν ποταμόν. οὗτος
δὲ πήγνυται ταῖς χιόσιν, ὥστε πετρώδη αὐτὸν εἶναι καὶ διαπερᾶν κτήνη
τε καὶ ἁμάξας· εἶτα μεθ’ ἡμέρας λύεται αἰφνιδίως καὶ γίνεται βαθύρρους
ποταμός. εὗρεν οὖν παγέντα αὐτὸν ὁ Ἀλέξανδρος καὶ ἀναλαβὼν τὸ σχῆμα, 2
ὅπερ εἶδεν κατὰ τοὺς ὕπνους, καθίσας τὸν πῶλον διαπερᾷ μόνος τὸν
ποταμόν. τοῦ δὲ Εὐμήλου θέλοντος σὺν αὐτῷ διαπερᾶν, μὴ γένοιτό τις
ἀνάγκη βοηθείας, εἶπε· ‛Σὺ μένε· ἐγὼ γὰρ ἔχω βοηθὸν τὸν χρησμοδοτή- 3
σαντά μοι.’ καὶ ὁ μὲν εἰπὼν διεπέρασε τὸν ποταμὸν ἔχοντα τὸ πλάτος
σταδίου α΄ καὶ ἀποβὰς ὥδευσεν. ἦλθε δὲ πρὸς τὰς πύλας τῆς Περσίδος. 4
οἱ δὲ ἐκεῖ τεταγμένοι ἰδόντες τὸ ξένον τοῦ προσχήματος ὑπενόουν θεὸν
εἶναι, ἐμάνθανον δὲ ἄγγελον Ἀλεξάνδρου αὐτὸν ὄντα.

Ὁ δὲ Δαρεῖος ἐπὶ λόφου ἦν στρατοῖς κηρύσσων καὶ φάλαγγας συντάσσων 5
ὡς † δὲ ὁ τῶν Μακεδόνων συνεὶς † μηνιοδῷ. ὁ δὲ ἀθρήσας τὸ πολὺ θαῦμα
Δαρείου παρ’ ὀλίγον αὐτὸν προσεκύνησεν ὡς θεὸν Μίθραν νομίζων οὐρανοῦ

1 ὅτε σὺ A 2 ἔσται Arm. παρήμην A 3 παραβ. ‘muta consilium’? at εἰς κίνδυνον θανάτου δὸς σεαυτόν Arm. i. e. παραβόλευσαι (cf. 76, 18) nempe σεαυτοῦ (et sic C) 4 ἐπικ. — γεν. in B′ rex loquitur ἑαυτὸν A 6 συνεβουλεύοντο ὑποποιῆσαι A μὴ ποιῆσαι B′ (non Byz.) 7 Μελδεῖον Arm. τρεῖς cett.: πρὸς A 8 rursus inc. Syr. στράγον A 9 τοῖς A ὥστε ἐδαφοῦσθαι αὐτὸν κ. π. γ. B′ Arm. πετρώδην A 10 βαθυρὸς A 11 ποτ. om. B′ addens ὥστε κατασύρειν τοὺς ληφθέντας τῷ ῥεύματι διαπερῶντας, item Arm. Leo (Byz.) 12 facile ⟨ἐπὶ⟩ τὸν, cf. 84, 13 13 θέλοντος: ὄντος A παρακαλοῦντος B′ Arm. *illum rogabat* Leo θελήσαντος Byz. 14 ὧδε μεῖνον μετὰ τῶν δύο πώλων B′ Arm. (Byz.) 15 με A 18 ἐμάνθανον: pluribus haec exequuntur cett., Arm. sic: κατασχόντες δὲ ἐπυνθάνοντο τίς ἐστι· ὁ δὲ εἶπε· τῷ βασιλεῖ προσαγάγετέ με, τούτῳ ἐπαγγελῶ 19 ὁ δὲ ἀλέξα^{δ}ν A λόφην ἦν στρατοῦσ A στράτας ὀρύσσων B′ (Byz.) στρατοῖς ἐπέταξε Arm. *vociferando et congregando multitudinem hostium* Leo ὑποτάσσων A, corr. ex B′ 20 ὡς ἐπὶ ἀδυνάτους τοὺς Μακ. ἐν τῷ πολέμῳ Arm. φόβῳ συστελλόμενος πολλῷ τῶν Μακ. Byz. ὡς ἡρώων ὄντων τῶν Μακ. LC διὰ τὴν τῶν Μακ. ἐπέλευσιν BM (unde possis ὡς δὴ τῆς τῶν Μ. σ. ἐφόδου) *hortandis animis suorum de ignavia Macedonum contionabatur* Val. Possis ὡς δέον τῇ τῶν Μ. συναντῆσαι ἐφόδῳ. Haec dudum corrupta ἀθροίσας A τότε ἐπαρθεὶς (?) διὰ τὰ πολὺ θαυμάσια Δ. Arm. συναθροίσας δὲ Ἀλ. τῇ θεωρίᾳ τῇ ξένῃ πάντας B′ Alexandrum a Dareo adorari facit Byz. (Christensen 83) 21 inde a *Μίθραν* usque ad *Δαρείου* p. 82, 7 choliamborum vestigia pessime habitorum; textum olim corruptum antiquitus mutaverunt

κατελθόντα, τοῖς βαρβάροις πέπλοισιν ἐγκοσμηθέντα. ἦν γὰρ κατ᾽ αὐτὸν 6
τῶν τύπων τὸ πρόσχημα καὶ τῆς νεότητος οἱ χρόνοι † διαστάντες .. διαδή-
ματος σφιγχθέντος τὸ κάρηνον ἔσκεπεν· πέπλῳ δὲ ἐχρῆτο οἷον [οὖν] οὐκ
εἶδον ἄλλον· Βαβυλωνίαν ὕφανσιν χρύσειον νῆμα, σειραὶ δὲ χρύσειαι καὶ
πέδιλα χρυσέων φοινίκων. σκῆπτρον δὲ ἦν .. καὶ ποδῶν δυοῖν κνῆμαι.
.. ἀλλ᾽ † οἱ λάγχετοι μύριοι κηρύκων ἔθνεά τε ἑκατέρωθεν μυρίων φωτῶν
κυκληδὸν ἔστεψαν τὸ σῶμα Δαρείου. καὶ οἱ μὲν φρουροὶ προσήνεγκαν 7
αὐτῷ τὸν Ἀλέξανδρον· ὁ δὲ εἰσιδὼν τὸ σχῆμα, ὃ μηδέποτε εἶδε, πυνθάνεται
αὐτοῦ, τίς ἂν εἴη. ὁ δὲ εἶπεν· ‘Ἐγὼ ἄγγελος Ἀλεξάνδρου· † ὅτι οὖν 8
πάρειμι ἄγγελος αὐτοῦ, ἐγώ σοι μηνύω. παρὼν Ἀλέξανδρος ἐνθάδε ταῦτα
λέγει δι᾽ ἐμοῦ· ‘ὀφείλεις εἰδέναι, βασιλεῦ Δαρεῖε, ὅτι βραδύνων εἰς μάχην
βασιλεὺς ἤδη πρόδηλός ἐστι τῷ ἀντιδίκῳ ἀσθενῆ ἔχειν τὴν ψυχὴν εἰς τὸ
πολεμεῖν· ὥστε μὴ μέλλε, ἀλλὰ ἄγγελλέ μοι, πότε βούλῃ συμβάλλειν τῇ 9
μάχῃ’. Δαρεῖος εἶπε· ‘Μή τι σὺ ὁ Ἀλέξανδρος; οὕτω γάρ μοι μετὰ
θράσους [μοι] διαλέγῃ, οὐχ ὡς ἄγγελος, ἀλλ᾽ ὡς αὐτὸς ἐκεῖνος. ἀλλ᾽ οὐ
μή με ταράξῃς. ἀλλ᾽ ἐπεὶ τὸ σύνηθες δεῖπνον τοῖς ἀγγέλοις δεῖ τελει-
οῦσθαι — καὶ γὰρ αὐτὸς Ἀλέξανδρος .....’ .... τῆς δεξιᾶς χειρὸς εἰσήνεγκεν 10
ἔνδον τῶν βασιλείων· ὁ δὲ Ἀλέξανδρος ἔσχεν ἐν καρδίᾳ τὸ σημεῖον ⟨ὡς⟩

1 καθαυτὸν A καθαρὸς κόσμιος ὁ τύπος τοῦ προσώπου Arm. At κατ᾽ αὐ. = ‘eius similis’ 2 τὸν τύπον A *er hatte die Mitte des Lebens überschritten* Arm. ἀνὴρ μεσῆλιξ Byz. (admodum verbosus h. l.) An διαπτάντες? διάδημα ἐφόρει τὴν κεφαλὴν σκεπασθείς Arm. ὁ δὲ Δ. ἐκαθέζετο διάδ. φορῶν ἐκ λίθων πολυτίμων, ἐσθῆτα δὲ Σηρικὴν Βαβυλωνίοις ὑφάσμασιν χρυσονήμασι καὶ πορφύραν βασιλικήν B′ 3 χρῶτι ὅσοι οὖν οὐχειδον A, versus esset π. δ᾽ ἐ. ὁποῖον οὐκ ἴδοις ἄλλον 4 βαβυλώνιον· εὔφασιν χρυσίον A ὕφασμα χρύσεον ν. versum clauderet σειραὶ A (cf. σηρικὴν B′), vestem aestivam dici puto χρύσεά τε ὑποδήματα διὰ λίθων κεκοσμημένα μέχρι τῶν κνημῶν αὐτοῦ B′ πέδιλα χρυσοφοινικᾶ versui aptum 5 σκηπτὸς A σκῆπτρα ἑκατέρωθεν B′ (om. cett.) κύκλῳ παρειστήκεισαν αὐτοῦ πολλὰ τὰ σκῆπτρα Byz. *sceptro etiam et indumentis pedum magnifice adornabatur* Val. (valde haec contrahens; etiam brevior Leo) versus esset σκέπαστρα τείνοντ᾽ εἰς π. δ. κνήμας δυσὶν A τῶν ποδῶν ἀμφοτέρων κόθορνοι Arm. 6 κηρύσσων A ἐβόων δὲ κηρύσσοντες καὶ λογχαγοὶ (λοχ-) μυρίοι Byz. Possis πολλοὶ λοχαγοὶ μύριοί τε κήρυκες ἔθνεα δέ θ᾽ ἑκ. τε: ταῖς A ἐκκατ. A στίφη δὲ μυριάδων πέριξ αὐτοῦ B′ (Arm.) 7 ἤστραψαν A 8 αὐτὰ A οἶδεν A 9 αὐτὸν A ἂν etiam B′ post Ἀλεξ. dicit Darius: καὶ τί πάρει πρὸς ἡμᾶς; in B′ Byz. Arm. Scribe igitur *Τί οὖν πάρει ἀγγέλλων; — Ἐγώ σ. μ. ⟨ὥσπερ⟩ π.* 10 μηνύων A 12 ἔχων B′ 13 μένε A ἀμέλει B′ Byz. Arm. *ne ultra cessaveris* Val. 14 Δαρ. ὀργισθεὶς B′ Arm. Val. σοὶ οὖν συνάπτω τὸν πόλεμον ἢ Ἀλεξάνδρῳ; οὕτω B′ 16 μή μου A ἐπὶ τὰ σ. A (cf. B′) ἀ. διατελειοῦσθαι A τὸ σ. δ. ἄξιόν ἐστι ποιεῖν Arm. 17 supple ex Arm. cett. τοῖς ἐμοῖς γραμματοφόροις ἐποίησε δεῖπνον, συνδειπνήσεις μοι᾽. ταῦτα εἰπὼν τὸν Ἀλέξανδρον 18 τὸ βασίλειον A

ἤδη κρατήσει τὸν τύραννον νικῶν. ὁ δὲ εἰσελθὼν εἰς τὰ μέλαθρα Δαρείου
καὶ ἐπὶ τὸ δεῖπνον εὐθέως ἐκρύχθη.
Πρῶτος δὲ ἀνακλιντὴρ ἦν ὁ Δαρείου· δεύτερος δὲ ἀδελφὸς ἦν Ὀξυάθρης 11
Δαρείου· τρίτος δὲ Ὦχος σατράπης Ὀξυδράκων [Δαρείου]· εἶτα πάλιν
Ἀδουλίτης ὁ ἐπὶ Σούσης καὶ Φραόρτης· μετ᾽ αὐτὸν Μιθριδάτης ἕκτος
κατεκλίθη καὶ Τιριδάτης ⟨ὁ⟩ τοξοτῶν πρῶτος, ἔτι τε Κανδαύλης ὁ νυκτίχροος
ἔκειτο † Μένωπος, εἶτ᾽ ἀνέκειτο Αἰθιόπων ἄναξ καὶ Πολυάρης ἔγγιστα ἡγεμὼν
μέγας· † Ὀρνίφατος Ὁδιώνης Καρτερόφωτος Σοβαρίτης Δελεάλκιδες †. τοῖς
δὲ ἀντικρὺς αὐτὸς μόνος ἀνέκειτο ἐπὶ μιᾶς κλίνης ὁ πάντα ἄριστος [ὁ]
Μακεδών.
Καὶ οἱ μὲν Πέρσαι ἀπεθαύμαζον τὴν τοῦ σώματος σμικρότητα, ἀλλ᾽ 15
ἠγνόουν, ὅτι ἐν μικρῷ ἀγγείῳ ἔκχυμα τύχης ⟨οὐρανίου⟩ ἐστίν. οἱ μὲν οὖν 2
πινεγχύται πυκνότερον ἐν τοῖς σκύφοις διηκόνουν· μεσάσαντος δὲ τοῦ πότου
ἐπινοεῖ τι ὁ Ἀλέξανδρος. οὓς γὰρ ἐλάμβανε σκύφους ἔσωθεν ἔκρυβεν· οἱ 3
δὲ πινεγχύται βλέποντες ἐνεφάνιζον Δαρείῳ. ὁ δὲ Δαρεῖος ἐπαναστὰς τοῦ
κλιντῆρος εἶπεν· ‘Ὦ γενναῖε, πρὸς τί ταῦτα ἐγκολπίζεις;’ καὶ ὁ Ἀλέξανδρος 4
εἶπεν· ‘Ὅτι οὕτως ὁ ἡμέτερος Ἀλέξανδρος, ἐὰν δεῖπνον ποιῇ τοῖς ταξιάρχαις
καὶ παρασπισταῖς, τὰ κύπελλα ἐκείνοις δωρεῖται, ὑπενόησα καὶ σὲ οὕτως
τὸ ἔθος ἔχειν, ⟨καὶ⟩ ὡς παρὰ τῷ ἐμῷ βασιλεῖ ἐνεκολπισάμην. εἰ δὲ οὐκ
ἔστι σοι τοῦτο τὸ ἔθος, ἀπολάμβανε.’ πρὸς ταῦτα οἱ Πέρσαι ἀφορῶντες 5
τὸν Ἀλέξανδρον ἀπεθαύμαζον. πλαστὸς ἀεὶ μῦθος, ἐὰν σχῇ πίστιν, ἐκστῆναι
πεποίηκε τοὺς ἀκούοντας.

---

1 *κρατήσης* A *κρατήσειε τυραννικῶν τῶν τόπων* Byz. 2 *τὸ*: *τὸν* A *ἀνεκλήθη* B′ (Arm.) 3—10 om. B′ Val. Leo 3 *ἄνω κλιντῆρος ἦν* A *πρῶτος ἐπὶ τῆς κλίνης ἦν Δαρεῖος* Arm. *Ὀξυδάρκης* Arm. *Ὀξύδαρκος* Byz. Nomina prorsus mutata in Syr. 4 *δὲ ὁ σατρ. ὀξυδράκησαν* A, corr. ex Arm. (*ὁ Δίοχος σατρ. Ὀξυδάρκου* Byz.) 5 *δουρίτης ὁ ἐκ πισσύσης* A *Andulites der über Susa* Arm. *δουλίτης Φάορτος σατρ. ὢν ἐν Σούσοις* Byz. *φαλάρτης* A *Phavartes* Arm. *Φάορτος* (v. supra) Byz. *μιθριάδης* A *Mihrdat* Arm., corr. e Byz. 6 *Τιριδάτης* Byz.: *Trdat* Arm. *γεριδάνης* A *τόξων τῶν πρ.* A *νυκτίχρωος* A, om. cett. *Κανδ. βασιλεὺς αὐτῆς Αἰθιοπίας* Byz. 7 *ὁ Μέροπος* Ausf. (habet solus A) *Μέν. ἐπανέκειτο,* corr. Rad. *χιλίαρχος Πολύαρχος* Byz. *Παυλιάδρης ἄναξ* Arm. 8 *μέγα* A *Ὀρνιράτης, Διόσιος, Καρτεροκλῆς, Σουλβάτης σὺν Ἀλκίδῃ* Byz. *Ἀρνίφατος καὶ Διώσιος, Καρδερωκέτης καὶ Ἀλκίδης* Arm. 9 *αὐτῶν* A 12 *τύχης* cett.: *ψυχῆς* A *ἐν μικρῷ τύχης ἀγγείῳ χύμα ἐξ οὐρανοῦ κατέρχεται* Byz. *ἐν μ. ἀ. τύχης οὐρανίου ἦν δόξα* B′ *καλὴ μῖξις τύχης ἐν οὐρανῷ πρότερον κατασκευασθεῖσα* Arm. *qualis virtus et qualis andacia erat in tali vasculo* Leo 13 *πηνεγχύτοι* A (cf. Heraeus Rh. Mus. 70, 14) *κοῦφοις* A *ἐκίρνων* Byz. 14 *σκούφους* A nempe *ἔσ.* ⟨*τοῦ κόλπου*⟩ ex cett. 15 *πηνονέγχοι· τὰ βλ.* A *τῆς κλ.* A 16 *νοήσας δὲ Ἀλ. ἀπὸ τοῦ σχήματος τὴν ψυχὴν* B′ (Byz. Arm. Val. qui: *quid in Dario nobilitatis animi foret*) 17 *δείπνωι ποιεῖ* A 18 *ὑπερασπισταῖς* B′ *ὑπασπισταῖς* C (cf. v. g. Mützell Curt. 398 b) *ἐκείνοις* scripsi: *ἐνσιπῆνοις* A *καὶ σὲ τοιοῦτον εἶναι ὁποῖος ἐκεῖνός ἐστι* B′ Arm. 19 *ἐνεκομισάμην* A 21 cf. Studien 52 ⟨*γὰρ*⟩ *ἀεὶ* B′ *ἐκστᾶναι* A

Πολλῆς οὖν σιγῆς γενομένης εἷς ἀνεπόλησεν αὐτόν, ὃς ἦν γενόμενος 6
ἡγεμὼν τῆς Περσίδος [ὃς] ὀνόματι Παρασάγγης· ᾔδει γὰρ αὐτὸν κατὰ πρό-
σωπον, ἡνίκα τὸ πρῶτον ἦλθεν εἰς Πέλλην τῆς Μακεδονίας ὑπὸ Δαρείου
πεμφθεὶς φόρους ἀπαιτῆσαι. καὶ πρὸς ἑαυτὸν ἔλεγεν· 'Οὐκ ἔστιν οὗτος, 7
ὃν λέγουσιν Ἀλέξανδρον; ἀσφαλῶς ἔστι. δεῖ με τοὺς τύπους ἐπιγνῶναι.'
καὶ κατανοήσας ἐκ δευτέρου εἶπεν· 'Αὐτός ἐστιν ἀσφαλῶς· ἡ φωνὴ γὰρ
αὐτὸν ἤλεγξε † καὶ ὁ τύπος αὐτός.' οὗτος οὖν ὁ Παρασάγγης νοήσας ἀσφαλῶς, 8
ὅτι αὐτός ἐστι, παρανακλιθεὶς τῷ Δαρείῳ εἶπε· 'Μέγιστε βασιλεῦ Δαρεῖε,
οὗτος ὁ πρεσβεὺς αὐτός ἐστιν [ὁ] Ἀλέξανδρος ὁ Φιλίππου.' ὡς δὲ διενοήθη 9
ἐγνωσμένον αὐτὸν ὁ Ἀλέξανδρος καὶ πολὺν θροῦν περὶ τὸ βασιλικὸν δεῖπνον
γενόμενον, ἀνήλατο ἔχων τὸ χρυσίον ἐν τοῖς κόλποις καὶ ἐξεπήδησεν. ἐκτὸς
δὲ τῶν βασιλείων ἰδών τινα Πέρσην παραφυλάσσοντα δᾷδας μετὰ χεῖρας
ἔχοντα ταύτας βαστάξας ἐσφαγίασε τὸν ἄνδρα. εὐθὺς δὲ καθίσας τὸν
πῶλον ἐφέρετο· οἱ δὲ Πέρσαι ἐξέβαινον ἐπὶ τὸν διωγμὸν καταλαβεῖν 10
θέλοντες τὸν φυγόντα. ὁ δὲ Ἀλέξανδρος ὑπὸ τοῦ θεοῦ βοηθούμενος ὤξυνε
τὸν ἵππον πτερνίσας καὶ προέβαλλε τὴν πεύκην καὶ ἐφωταγώγει τὸν πῶλον·
ἦν γὰρ νὺξ βαθεῖα, καὶ οἱ μὲν διώκοντες εἰς ὃ μέρος ἔτυχον ἐδίωκον· ὁ μὲν
γὰρ ἔχων τὴν πεύκην ὡς ἀστὴρ ἀπέλαμπεν ἑαυτῷ, οἱ δὲ εἰς τὰς φάραγγας
κατεκρημνίζοντο.

Ὁ δὲ Δαρεῖος συνεφοράζετο ἐπὶ τοῦ κλιντῆρος καθεζόμενος· ἐθεάσατο 11
δὲ [τι] ἐξαίφνης κρήγυόν τι σημεῖον. εἰκὼν γὰρ Ξέρξου τοῦ ὀρόφου κατέ-
πεσε διαστάντος, ἥνπερ ἠγάπα Δαρεῖος. ὁ δὲ Μακεδὼν ᾤχετο καὶ καμὼν 12
ἦλθεν ἐπὶ τὸν Στράγγαν ποταμόν. καὶ ἅμα τῷ διαπερᾶσαι παρὰ τὴν
ὄχθην τοῦ πώλου τοὺς ἐμπροσθίους πόδας ἔχοντος ἐπὶ τὴν γῆν ὁ ποταμὸς

1 ἦσ ἀνεπόλισεν A (ἀναπολήσας Byz.); cf. 37, 8 2 Παρασάγγης Arm. Byz.: ἀσαργὰς A *Pasarges* Val. *Anepolis* Leo (cf. v. 1) 4 ἔλεγον Arm. (et ita opus) 5 ἔτι A δεῖ με scripsi ex Arm.: μὴ δὲ A 7 fuit ⟨εἰ⟩ καὶ ὁ τ. ἄγνωστος, cf. cett. (qui plura dant) πολλοὶ γὰρ ἄνθρωποι τῇ φωνῇ γιγνώσκονται, κἂν ἐν σκότει διάγωσιν B′ παρασαργᾶς A 9 ὁ πάλαι Φιλ. γεγονὼς ἀριστεύων B′ (Arm.) συννοήσας B′ 10 αὐτῶν A καὶ τὸν πότον καὶ τὸν θροῦν Arm. περὶ τὸν A 11 πλανήσας πάντας ἥλατο B′ Byz. (Arm.) τοὺς χρυσοῦς σκύφους B′ Arm. Val. ἐξῆλθεν λαθραίως ἐγκαθίσας τῷ πώλῳ αὐτοῦ ὥστε φυγεῖν τὸν κίνδυνον B′ (Arm.) 12 δᾷδα Arm. Leo 13 ταῦτα A an ⟨ἐπὶ⟩ τὸν π.? cf. 81, 12 14 ἐξέβ. ἔνοπλοι Arm. Byz. Leo Val. 15 ὤξυνε: ἐπέτεινε καὶ προὐπορεύετο Arm. 16 προσέβαλλεν A, corr. Müll. 17 βαθ. καὶ σκότος κατ' Ὄλυμπον B′ Byz. Arm. τυχῶν A κατεδίωκον καὶ οὐ κατέλαβον αὐτόν B′ (Byz. Arm.) 18 ὁδηγοῦσαν τὴν πεύκην Arm. (B′) ἑαυτό A φάλαγγας A 19 add. ὁ δὲ Ἀλ. ἦν ὥσπερ ἀστὴρ ἐξ οὐρανοῦ φαιδρὸς ἀνιὼν μόνος καὶ εἰς οὐδὲν φεύγων ἡγεῖτο τοὺς Πέρσας (*so führte er alle P. in die Irre* Arm.) B′ (Byz. Arm.) 20 συνεφόραζεν αὐτῶι ἐπὶ τῆς κλ. A 21 κρήγυον etiam Byz. *wahr* Arm. Ξέρξου cett.: ἔξω A ὀροφωτοῦ A 22 διαστάντας A *fatiscente compactu* Val. 23 στράγαν A δ. πατήσας ὄχθησ A, corr. ex B′

διελύθη, καὶ ὁ μὲν πῶλος ἐφέρετο ⟨τῷ⟩ ῥεύματι, τὸν δὲ Ἀλέξανδρον ἐπὶ
γῆς ἔρριψε καὶ ἐρρύσθη ἐπὶ γῆς στερεᾶς. οἱ δὲ Πέρσαι παρ᾿ αὐτὸν τὸν 13
Στράγγαν ποταμὸν ἐλθόντες ἔγνωσαν αὐτὸν διαπεράσαντα καὶ μηδὲν δυνά-
μενοι .. ἀπέστησαν τῶν τόπων· ὁ γὰρ ποταμὸς οὗτος ἄπλευστός ἐστι πᾶσιν.
καὶ οἱ μὲν Δαρείῳ ἔλεγον τὸ εὐτύχημα Ἀλεξάνδρου· ὁ δὲ Ἀλέξανδρος ἀπὸ 14
τοῦ σάλου καὶ τῆς διώξεως ἀναλαβὼν ἑαυτὸν καὶ ὀλίγον πεζεύσας εὗρεν
Εὔμηλον ἐναγώνιον ὀδυρόμενόν τε ⟨καὶ⟩ ὑφηγεῖται τὰ συμβάντα.

Ἀναλαβὼν δὲ ἑαυτὸν καὶ ἕωθεν συναθροίσας τὸν στρατόν, αὐτὸς ἐν 16
μέσῳ ἑστώς, ὁποῖος Ζεὺς τοὺς οὐρανίους δαίμονας διακρίνων, καὶ εἰς ἀριθμὸν
ποιησάμενος διὰ τὸ τεθεωρημένον αὐτῷ Περσικὸν πλῆθος, πάντας τοὺς
ἑαυτοῦ ἀριθμήσας εὗρε μυριάδας ιβ'. καὶ ἦν μὲν αὐτὸς ὁ ἀριθμὸς βραχὺς
λίαν, ἀλλ᾿ ὅτι φρενήρης ἦν, ἀνεθάρσει. ἀνελθὼν οὖν ἐπί τινος ὑψηλοῦ
τόπου ἐθάρσυνε τὴν στρατείαν λέγων· „Ἄνδρες συστρατιῶται καὶ φίλοι, 2
ἐπίσταμαι τὸ πλῆθος τὸ ἡμέτερον ὀλίγον ὄν. ἀλλὰ μὴ εἰς τοῦτο διστάσωμεν·
εἷς γὰρ ὑμῶν κατὰ τὸ ἀνδρεῖον τῶν ἀντιδίκων οὕτω τι νωθρῶν ⟨ὄντων⟩
ὑπὲρ τοὺς ἑκατὸν χειρώσεται. καὶ γὰρ πολλαὶ μυριάδες μυιῶν εἰσιν, αἳ
σκέπουσι τὸν ἀέρα· ἐπὰν δὲ αὐταῖς ἐπιστῶσι σφῆκες, σοβοῦσιν αὐτὰς ταῖς
πτέρυξι κλαγόντες· οὕτω τὸ πλῆθος οὐδέν ἐστι πλὴν πλῆθος· σφηκῶν γὰρ
παρόντων οὐδέν εἰσιν."

Ὡς δὲ εἶπεν ὁ βασιλεύς, πάντες αὐτὸν εὐφήμουν. πολλὰς οὖν χέρσους 3
καὶ στίβους διευθύνας εὗρε τὸν ὄχλον ἐπὶ τὰ νῶτα τοῦ Στράγγου. ὁ δὲ
Δαρεῖος ὡς ἐθεάσατο τὸν στρατὸν Ἀλεξάνδρου ὀλιγοστὸν ὄντα ἐχλεύασεν

---

1 *διελ. ὑπὸ τῆς τοῦ ἡλίου ἀκτῖνος* B' Arm. 2 *εὑρέθη* A, corr. ex Byz. *στερρεᾶς* A *αὐτῶι τοῦ στράγου πο^{τ}* A 3 scr. *μὴ δυν. ⟨διαβαίνειν⟩* cl. B' (*διώκειν* Arm.) aut adde *διαπράξασθαι* 4 *τὸν τόπων* A *ἀπέρατος* B' Arm. *ne navigabile quidem* Val. 5 post *Ἀλεξ.* add. *ὁ δὲ Δαρεῖος καταπληττόμενος τῷ παραδόξῳ σημείῳ ἐλυπήθη πάνυ* B' Arm. (Val. Syr.) 6 *τὸ σάλος* A 7 *Εὔμ. καθεζόμενον μεθ᾿ ὧν κατέλιπε δύο πώλων* B' Arm. Val. *ὀδυρωμένωι* A (cf. Syr.) 8 *εἶτα ἐκέλευσε τὰς φάλαγγας τῶν Ἑλλήνων ἐξ ὀνόματος καθοπλισθῆναι* Arm. C' *τὲ* A 10 *αὐτὸ περσικῶν* A 11 abundat *ἀριθμήσας* *χιλιάδας* A, corr ex B' Arm. Val. 12 oratio decurtata; *ἀλλὰ φρόνησις μεγάλη καὶ ὑπερβάλλουσα τὸ πλῆθος* Arm. *ἀλλ᾿ Ἀλεξάνδρου φρόνησις ἦν πλείστη πρὸς Δαρείου* Byz. 14 *ὂν* scripsi: *μὲν* A *ἀλλὰ μηδεὶς λογίσηται ἀσθενεστέραν τὴν προθυμίαν* Arm. (B') *διαστήσωμεν* A *ne sit vobis .. quod cunctemini* Val. (cf. Syr.) 15 *ὑμῶν χεῖρα γυμνώσας* B' Arm. *νωθρῶν* scripsi: *τῶι νῶι θεωρῶν* A 16 *χιλίους* B' Arm. (*ἑκατὸν* etiam Syr.) *χειρώσηται* A *μυιῶν εἰσι* dedi cl. B' cett.: *μέλλουσαι* A add. *ἐν τοῖς λειμῶσιν* Arm. (B') 17 *σκοποῦσαι* A *ἐπιστᾶσαι τίς σφηκεύς* A nolui *ι' σφῆκες* 18 *κλαγότες* A cf. Arm. *ἐστι πρὸς σύνεσιν* B' *γὰρ ὄντων* AB' 19 *εἰσιν αἱ μυῖαι* B' Byz. 20 *ὁδεύσας οὖν ἔρχεται ἐπὶ τὰ μέρη τοῦ Σ. π.* B' 21 *στόβους* A *εὗρε τὸν ὄχλον* solus A inepte; convenit *ἤγειρε* *στρατοῦ* A (*ἐπὶ τὰ νῶτα* etiam Arm. C') 22 *Δαρ. ἀναλαβὼν τὴν δύναμιν αὐτοῦ ἔρχεται καὶ αὐτὸς ἐπὶ τὸν Σ. ποταμόν· καὶ ἰδὼν* B' *τὸν στραταρχοῦντα ὀλιγωστὸν* A possis

ὡς μηδὲν· καὶ εὑρὼν ἐπίπηκτον τὸν ποταμὸν διεπέρασεν, ἐπιστῆναι βου-
λόμενος τοῖς στρατοῖς Ἀλεξάνδρου, καὶ κήρυκας ἐκπέμπει καλεῖν ⟨εἰς⟩ τὴν
μάχην. καὶ ἦν μὲν Περσικὸν πλῆθος ἄμετρον καὶ ἅρματα δρεπανηφόρα 4
ἐτύγχανε. τῶν δὲ Μακεδόνων προῆγεν ὁ Ἀλέξανδρος ἐγκαθίσας τὸν Βου-
κέφαλον ἵππον· προσεγγίσαι δὲ τούτῳ οὐδεὶς ἠδύναιο διὰ τὴν ἐν αὐτῷ 5
θειότητα. ὡς οὖν ἑκατέρους ἔκληζεν ⟨ἡ⟩ πολέμιος σάλπιγξ, πολύς [δὲ]
τις θροῦς συνεκλονεῖτο καὶ κλαγγὴ τῶν στρατῶν· προθυμίᾳ δὲ ἦλθον εἰς 6
δῆριν. καὶ οἱ μὲν λίθοις ἠμύναντο, οἱ δὲ τοῖς βέλεσιν ἐσκέπασαν τὸν ἀέρα,
ἄλλοι δὲ μαχαίραις ἐξοιστροῦντο· καὶ πολλοὶ μὲν ὤλοντο, πολὺς δὲ ὀδυρμὸς
ὠρώρει· καὶ οἱ μὲν ἐσφάζοντο, ἕτεροι δὲ ἡμισφαγεῖς ἔκειντο. πολλῶν δὲ 7
Περσῶν ὀλεθρίως τελευτώντων ὁ Δαρεῖος ἔστρεφε τὰς ἡνίας τοῦ ἰδίου
ἅρματος, καὶ πᾶν τὸ πλῆθος τῶν Περσῶν εἰς φυγὴν ὥρμα. δρεπανηφόρων
δὲ πολλῶν ἁρμάτων τροχαζόντων οἱ πεζοὶ ἐθερίζοντο ὥσπερ σῖτος ὑπ'
ἀρότρῳ.

Ὁ οὖν Δαρεῖος ἐλθὼν ἐπὶ τὸν Στράγγαν ποταμὸν αὐτὸς μὲν διεπέ- 8
ρασεν ἔτι αὐτὸν πεπηγότα εὑρών· τὸ δὲ ἄλλο πλῆθος ὡς ἦλθεν αὐτὸν
διαπερᾶσαι, κάτωθεν διελύθη ⟨τὸ⟩ κῦμα καὶ ἥρπασε πάντας. οἱ δὲ μὴ
φθάσαντες διαπερᾶσαι τὸν ποταμὸν ὑπὸ τῶν Μακεδόνων ἀνῃροῦντο. ὁ δὲ 9
Δαρεῖος φυγὰς γενηθεὶς καὶ εἰσελθὼν εἰς τὰ βασίλεια ἔρριψεν ἑαυτὸν ἐπὶ
τοῦ ἐδάφους, οἰμώζων ⟨καὶ⟩ δακρύων διὰ τὸ ἀπολωλεκέναι πολὺ πλῆθος
ἀνδρῶν καὶ ὡς ἐρημώσας πᾶσαν τὴν Περσίδα. ἔλεγε δέ· Ποῖος ἀστὴρ 10
οὐράνιος ἔβαλε τὴν Περσικὴν βασιλείαν, ἵνα Δαρεῖος ὁ τοσαύτας πόλεις καὶ
ἔθνη ὑποτάξας καὶ νήσους καταδουλωσάμενος, ὁ ἡλίῳ συνανατείλας, οὗτος
φυγὰς γενόμενος ... ἀληθῶς

etiam Στράγγαν ῥιγοῦντα καὶ ὀλ. (vel ὀλίγιστον), et B': ἰδὼν αὐτὸν ὀλιγοστὸν καὶ παγέντα, Arm. εὑρίσκει αὐτὸν προσφάτως παγέντα· ἐπέρασε

1 μηδὲν ⟨ὄντα⟩ elegantius ἐπιστ.: πρῶτος add. B' Arm. Byz. 2 κήρυκες δὲ εἰς μέσον ἐλθόντες ἐκήρυξαν καλοῦντες εἰς μάχην τ. ἀριστέας B' Arm. ἐκπέμπειν καλὸν A 4 ἐτύγχ.: haec contracta, cf. B' ὁ δὲ Δαρ. ἦν ἐφ' ἅρματος ὑψηλοῦ κ. οἱ σατράπαι αὐτοῦ ἐπὶ δρεπ. ἁρμάτων ἐκαθέζοντο· ἄλλοι δὲ ἐκόμιζον ὅπλα πανουργικὰ καὶ δόρατα μηχανικά (cf. Arm. Byz.); satrapas memoratos fuisse docent etiam Arm. Val. 6 ἐσθιότητα A (cf. Syr. Leo) ἑκκατ. ἔκλιζεν πολέμους A ἑκατέρων ἔκλαγξεν ἡ π. σ. Arm. cf. B' Leo 7 κλαγγείων στρατῶν A προθυμία δὲ ἦλθεν A 10 πολλὰ A 11 τελευτησάντων B' Syr. Δαρ. φοβηθεὶς B' Byz. 13 τρομαζόντων A *fugiens* Leo, exp. ὀπίσω τρ. 15 στράγαν A 16 ἦλθον A 17 *dissoluta est nix* Leo ὁ κλύδων ἥρπασε Arm. 18 ἀναιροῦντο A add. ἀνιλεῶς Byz. Arm. 20 ἀπολελωκέναι A 21 debebat καὶ ἐρημῶσαι συμφοραῖς δὲ τοιαύταις συνεχόμενος ἐθρήνει ἑαυτὸν λέγων B' Arm. ποῖος — 22 βασιλ. A: *welcher von den Sternen hat das Reich der Perser zugrunde gerichtet* Syr., om. cett. 22 κατέβαλε Ausf. 23 post καταδ. add. καὶ θεῶν σύνθρονος γενόμενος B' Byz. Arm. Val. ὁ ἡλ. συν. post γενόμενος A (cf. Syr.) non opus οὗτω 24 supple fere ἐρημωθῇ (cf. B' Arm.) ἀληθές ἐστιν, ὃ εἶπεν ἡ μήτηρ μου Arm.

οὐδεὶς τὸ μέλλον ἀσφαλῶς ἐπίσταται·
ἡ γὰρ τύχη, βραχεῖαν ἣν λάβῃ ῥοπήν,
ἢ τοὺς ταπεινοὺς ὑπεράνω νεφῶν τιθεῖ
ἢ τοὺς ἀφ᾽ ὕψους εἰς ζόφον κατήγαγεν.᾽

Ἔκειτο μὲν Δαρεῖος ἔρημος· διαναστὰς δὲ καὶ ἐν ἑαυτῷ γενόμενος 17
τυπωσάμενος ἐπιστολὴν πέμπει πρὸς Ἀλέξανδρον· [Ἐπιστολὴ Δαρείου
Ἀλεξάνδρῳ.]

῾Δαρεῖος βασιλεὺς Ἀλεξάνδρῳ τῷ ἐμῷ δεσπότῃ χαίρειν. πρῶτον 2
γίνωσκε, ὅτι ἄνθρωπος ἐγεννήθης· ἱκανὸν δὲ τοῦτο ὑπόμνημα τοῦ μὴ
μεγαλοφρονεῖν. καὶ γὰρ καὶ Ξέρξης ὁ τὸ φῶς μοι δείξας ὑπερφρονήσας
καὶ καταφρονήσας ⟨πάντων ἀνθρώπων⟩ μέγαν ἔρωτα ἔσχεν εἰς τὴν
Ἑλλάδα .. ἄπληστος ὢν χρυσοῦ τε καὶ τῶν ἄλλων πραγμάτων. τί γὰρ αὐτὸν
ἦν λεῖπον; χρυσὸς ἢ λίθοι ἢ ἀγάλματα, ἅπερ καὶ αὐτὸς παρ᾽ ἡμῖν εἶδες; 3
.... ἀλλά γε σκοπήσας τὴν τύχην οἴκτειρον ἡμᾶς πρὸς σὲ καταπεφευγότας.
πρὸς Διὸς ἱκεσίου καὶ τῆς ἄλλης ἐνυπαρχούσης ἡμῖν εὐγενείας ἀπὸ Περσίδος,
ἀποδὸς τὴν μητέρα καὶ γυναῖκα καὶ τέκνα· ἀντὶ δὲ τούτων ὑπισχνοῦμαί
σοι τοὺς θησαυροὺς δεῖξαι τοὺς ἐν Μιννάδι χώρᾳ καὶ Σούσοις καὶ Βάκτροις,
οὓς οἱ πατέρες ἡμῶν παρέθεντο τῇ γῇ· ἐπεύχομαί δέ σοι τῆς Περσῶν καὶ
Μήδων καὶ τῶν ἄλλων ἀνδρῶν κυριεύειν τὸν ἅπαντα χρόνον. Ζεύς σε 4
ποιείτω μέγαν. ἔρρωσο.᾽

Ταύτης τῆς ἐπιστολῆς ἀναγνωσθείσης ἔδοξεν Ἀλεξάνδρῳ συναθροίζειν 5
τὴν δύναμιν καὶ ἐκκλησιάσαι· καὶ ἐσκέπτετο σὺν αὐτοῖς. εἶπεν οὖν Παρ- 6
μενίων ⟨ὁ⟩ στρατηγός· ῾Ἀλέξανδρε, ἔλαβον ἂν τὰ χρήματα καὶ τὴν χώραν
τὴν δεδομένην σοι καὶ ἀπεδίδουν αὐτῷ τὴν μητέρα καὶ τὰ τέκνα.᾽ πρὸς 7

1 de his versibus cf. TGF inc. 102 p. 859. Wilam. Ind. Gotting. 1893, 21; v. 1 in Menand. monost. 412 βουλεύεται B′ (alia quoque immutans) 2 ἐὰν A B′ 3 τιθῆι A 4 καταγάγει A κατάγει B′ 5 ἔρ. ὁ τοσούτων ἐθνῶν δεσπότης γενόμενος B′ Arm. ὀλίγον οὖν ἀναπνεύσας καὶ διαν. Arm. (etiam seqq. multis verbis augens) B′ διανήψας B′ Val. 8 χαίρει A πρῶτον — 10 Ξέρξης om. B′ 9 τοῦ: τὸ A 11 add. ex Arm. μεγάλως A 12 Ἑλλάδα: ἐλπίδα A adde στρατεύσασθαι ex cett. an χρημάτων? τῆς ἄλλης εὐδαιμονίας τῆς ὑπαρχούσης ἡμῖν ἐκ πατέρων B′ (cf. Arm. Byz.) τί — 13 εἶδες solus fere A (pauca Syr.) 13 οἶδας A post add. ἦλθεν (ἀπῆλθεν Byz.) ἀπολέσας τὸ πολὺ χρυσίον, τὸ πολὺ ἀργύριον καὶ πολλὰς σκηνὰς Arm., sim. cett. 14 ἀλλά γε: ἃ καὶ σὺ κατανοήσας τὸ μέγα φρονεῖν αἰδούμενος οἴκτειρον Arm., sim. B′ 15 τῆς — Περσίδος etiam Arm. Byz. quid ἀπὸ? displicet τῆς Π. (τῶν Περσῶν B′ Byz.). Extare non potuisse ἀπὸ Παρυσάτιδος non spondeo 16 ἀποδοὺς A 17 δεῖξαι: δοῦναι B′ Leo Μηνιάδι Byz. *Miniada* Leo *Mina* Arm. Μυσιάδι vel Μηδίᾳ B′ Μιναίᾳ Ausf. χῶρον A 18 ἐπεύχομαι: ὑπισχνοῦμαι B′ τῆς: τὴν A 19 ἐθνῶν B′ cett. 20 μέγα· ἔρρωσαι A (o supra) 24 αὐτὰ A post τέκνα add. κ. τ. γυναῖκα κοιμηθεὶς μετ᾽ αὐτῶν B′ (Byz.)

*ταῦτα εἶπεν ὁ Ἀλέξανδρος· ‘Κἀγὼ Παρμενίων ⟨ὢν⟩ ἔλαβον ⟨ἄν⟩. ἀλλὰ
θαυμάζω, εἰ τῶν ἐμῶν χρημάτων Δαρεῖος λυτρώσεται μητέρα καὶ γυναῖκα
καὶ τέκνα· πολὺ δὲ μᾶλλον, ὅτι καὶ τὴν ἐμήν μοι χώραν ὑπέσχηται δώσειν.
ἀγνοεῖ δήπου ὅτι, εἰ μὴ μαχόμενος νικήσει, ἐμὰ ταῦτά εἰσιν· εἰ μὲν οὖν* 8
*ἥττων ὑπάρχει ἐμοῦ, μηδὲν ἐπαγγελλέσθω τῶν ἐμῶν· ἐὰν γὰρ νικήσῃ
μαχόμενος, οὐδὲ περὶ τῆς ἐκείνου γυναικὸς ἢ μητρὸς ἢ τέκνων λόγος αὐτῷ
γίνεται πρὸς ἡμᾶς, ἀλλ' ἡμῖν πρὸς ἐκεῖνον περὶ τῶν ἡμετέρων. τὸ δ' ὅλον* 9
*οὐκ ἂν διέβην ⟨εἰς⟩ τὴν Ἀσίαν, εἰ μὴ τὴν χώραν ὑπελάμβανον ἡμῶν εἶναι·
καὶ γὰρ ἂν ἠδίκουν τῶν ἀλλοτρίων ἁπτόμενος. εἰ δὲ πρότερον ἐκεῖνος
αὐτῆς ἦρξεν, κερδαινέτω, διότι χώραν ἀλλοτρίαν ἔχων τοσοῦτον χρόνον
οὐδὲν ἔπαθεν.’ ταῦτα ἐκέλευσε τῷ Δαρείῳ ἀπαγγέλλειν τοὺς Πέρσας.* 10
*Αὐτὸς δὲ ἐκέλευσε τοὺς μὲν τραυματίας γενομένους θεραπείας ἔχεσθαι, τοὺς
δὲ τελευτήσαντας ἐπὶ τῶν τόπων κηδείας τυχεῖν. μείνας δὲ τὸν ἀκμαιό-* 11
*τατον χειμῶνα καὶ ποιήσας τοῖς ἐγχωρίοις θεοῖς θυσίας προσέταξεν ἐμ-
πρησθῆναι τὰ Ξέρξου βασίλεια ὄντα κάλλιστα κατὰ τὴν χώραν· μετὰ δὲ
μικρὸν μετανοήσας σβεσθῆναι ἐκέλευσεν.*

Ἐθεάσατο δὲ καὶ τοὺς Περσῶν τάφους, ἐν οἷς ἦσαν χρυσώματα πολλὰ **18**
*καὶ κρατῆρες ἀργύρεοι· ἦν δὲ καὶ ὁ Κύρου τάφος τοιοῦτος, πύργος δεκά-
στεγος λίθινος. ἐν δὲ τῇ ἄνω στέγῃ ἔκειτο ἐν χρυσῇ πυάλῳ, ὕελος δὲ
περιεκέχυτο, ὥστε τὸ τρίχωμα αὐτοῦ φαίνεσθαι καὶ αὐτὸν ὅλον. ἐνταῦθα* 2
*δὲ ἦσαν τῶν Ἑλλήνων ἄνδρες τεχνῖται λελωβημένοι οἱ μὲν πόδας, οἱ δὲ
ῥῖνας, οἱ δὲ τὰ ὦτα· ἐδέδεντο δὲ ἐν πέδαις καθηλωταῖς. συνελθόντες οὖν
ἀθρόοι ἐφώνησαν τῷ Ἀλεξάνδρῳ σῶσαι αὐτούς· ἦν δὲ τὸ θέαμα δεινόν,
Ἕλληνες ἄνδρες λελωβημένοι. ἰδὼν δὲ αὐτοὺς ὁ Ἀλέξανδρος ἐδάκρυσε καὶ* 3
βαρέως ἤνεγκε· τούτοις δὲ προσέταξε δοθῆναι ἑκάστῳ δραχμὰς ,α' καὶ

1 *ἔλαβον*: sententiam perdunt omnes (*κἀγὼ νῦν Παρμ. ἔλαβον* Arm.) 2 *θαυμάζων* A *λυτρώσετο* A *ἀξιοῖ λυτρώσασθαι* B' Byz. Arm. 3 *δέ*: *με* A *ὅτι*: *οἱ* A 4 *μαχόμενον* A, an *μάχῃ με*? pro *εἰ μὲν* — 7 *ἡμετέρων* deteriora habet B' 5 *ἥττον* A *ἀπαγγ.* A *ἐμοῦ* A 6 *οὔτε* A 7 *ἡμετ. τόπων* Arm. *τὸ δ' ὅλον* scripsi cl. B' Arm.: *τῶν δούλων* A 8 *διέβη τὴν οὐσίαν* A *ὑπελάμβανεν ἡμῖν* A (possis *ἐμὴν*) 9 *ἐκείνοις* A 10 *αὐτὸς ἦρξεν* A (*υ* corr. in *ν* ut vid.) 11 *ἔπαθον* A *ἀπαγγέλλων τ. πέρας* A *πρέσβεις* B' Byz. Arm. add. *γράμματα αὐτοῖς μὴ δούς* B' Byz. Arm. 12 an *γεύεσθαι*? 13 *τὸν τόπον* A *εἰς τὸν προσήκοντα τόπον* Arm. *τυχῶν* A 14 *τεταγμένας θυσίας* Arm. 18 *ἀργυραῖοι* A hic de Nabonasari sepulcro quaedam add. B' Byz. *π. δὲ καὶ στέγος λίθινον* A *δεκάστ.* Arm. *δωδεκάστ.* B' Byz. 19 *λίθινος* servavi (*lapide .. extructa* Val. *von Steinen und Kalk* Syr.): *αἴθριος* B' Arm. Byz. *χρ. ἰνάλωι· τέλος δὲ περιέχοιτο* A, corr. e cett. *ὕελος* — 89, 4 *οἰκείοις* om. Arm. 20 *ὅλος* A 21 artifices testatur Syr., et cf. Diod. 17, 69, 4 postea add. *εἰς τὸν τάφον Ξέρξου* B' Byz. 22 *ἐδέδοντο* A 23 *τὸν ἀλέξ*^{δ}*αν* A (rectene?) 24 *ἕλληνας ἄνδρας λελωβημένους* A (cf. Byz.) 25 *τούτους* A (cf. B') *πρ. λυθῆναι τούτους καὶ δοθ.* B' Syr. *,α'*: *Δ'* A *mille* Byz. Leo Syr. Curt. 5, 5, 22 *duo milia* B'

καταστα θῆναι εἰς τὰς ἑαυτῶν πατρίδας. οἱ δὲ λαβόντες τὸ ἀργύριον ἐβου-
λεύσαντο αὐτοῦ μένειν· ἐντυγχάνοντες οὖν τῷ βασιλεῖ ἠξίωσαν μὴ ἀπο-
στῆναι, χώραν δὲ αὐτοῖς ἀπονεῖμαι. 'ὄνειδος γάρ (φησίν) ἐσμὲν τοῖς 4
οἰκείοις.' ὁ δὲ Ἀλέξανδρος προσέταξεν αὐτοῖς ἀναμετρηθῆναι γῆν καὶ
σῖτον εἰς σπερμοβολίαν καὶ βόας ἑκάστῳ ϛ' καὶ τὰ λοιπά, ὅσα πρὸς γεωρ-
γίαν, καὶ ἕτερα χρήματα.

Ἤδη δὲ πάλιν ὁ Δαρεῖος ἐστέλλετο πρὸς ἑτέραν συμβολήν· καὶ γράφει 19
Πώρῳ ἐπιστολὴν περιέχουσαν οὕτως· [Ἐπιστολὴ Δαρείου Πώρῳ βασιλεῖ
Ἰνδῶν.]

'Βασιλεὺς βασιλέων Δαρεῖος Πώρῳ βασιλεῖ χαίρειν. ἔγραψά σοι 2
συμπάσχειν ἐπὶ τῇ γενομένῃ καταστροφῇ τοῦ οἴκου μου, ἐπειδὴ ὁ ἐπιβὰς
πολέμιος θηρὸς ἀγρίου θυμὸν ἔχει καὶ θαλάσσης ψυχήν, οὐ βουλόμενός
μοι τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα ἀποδοῦναι· † ὅθεν συγχρη- 3
σάμενός μοι τοῖς πράγμασιν οὐ πείθεται. διὸ ἀναγκάζομαι εἰς ἑτέραν
συνδρομὴν ἐλθεῖν, μέχρις οὗ ἀμύνωμαι τὸ ἔθνος ἢ αὐτὸς οὐκ ἔσομαι ἐν
τῷ κόσμῳ. διὸ οἰκτείρας τὰ κατ' ἐμὲ ἀγανάκτησον καὶ ἀπεκδίκει τὴν ἐμὴν
ὕβριν, μνησθεὶς τῶν προγονικῶν ἡμῶν δικαίων. συνάθροισον οὖν πλείονα 4
ἔθνη καὶ γίνου ἐπὶ τὰς Κασπίας πύλας. τοῖς δὲ συνερχομένοις κατὰ μῆνα
χορηγήσω ἀνδρὶ εὐζώνῳ χρυσοῦς τρεῖς, ἱππεῖ δὲ χρυσοῦς πέντε καὶ σῖτον
καὶ χόρτον καὶ πᾶν ὅτι οὖν ἔδεσμα· τῶν δὲ γιγνομένων λαφύρων τὸ ἥμισύ
σοι πέμψω. χαρίζομαι δέ σοι καὶ τὸν Βουκέφαλον ἵππον σὺν τοῖς βασι- 5
λικοῖς χωρίοις καὶ τὰς ἐν Σούσοις [τούτοις] παλλακὰς ρη' μετὰ τοῦ ἰδίου
κόσμου. δεξάμενος οὖν τὴν ἐπιστολὴν μὴ ἀναμείνῃς.'

Ὁ δὲ Ἀλέξανδρος ταῦτα μαθὼν ὑπό τινος τῶν τοῦ Δαρείου προσπε- 6
φευγότων αὐτῷ ἀναλαβὼν τὴν δύναμιν ἀνέζευξεν ἐπὶ τὴν Μηδίαν· ἤκουσε
γὰρ τὸν Δαρεῖον εἶναι ἐν Ἐκβατάνοις. οὐκ ᾤετο δὲ βασιλεύειν τῆς Ἀσίας 7
ὁ Ἀλέξανδρος, εἰ μὴ κατεφρόνησε τοῦ Δαρείου ὀνόματος. προσηγγέλη
δὲ αὐτῷ, ὅτι εἴη πεφευγὼς ἐπὶ τὰς Κασπίας πύλας· σύντονον δὲ ἐποίει

1 ἀποκαταστῆναι B' 2 nempe ἀποκαταστ. (cf. ad v. 1) 3 ἀπονείμας A 4 οἴκοις A 5 βόας: πρόβατα add. B' Byz. 7 συμβουλίαν A 8 πόρρω A 11 συμπάσχων A 12 ὁ πολέμιος post ψυχήν A sententiarum conexio turbata ὁ ἐπιβὰς θὴρ ὡς ἀ. A 13 ἐμοῦ δὲ ἐπαγγειλαμένου θησαυροὺς καὶ ἄλλα τινὰ πλείονα παρέχειν αὐτῷ οὐ πείθ. B', sim. cett. Possis συγχωρήσαντός μου χρῆσθαι τοῖς χρήμασιν 14 διὸ etc.: ὅθεν βουλόμενος ἐκπορθῆσαι τὴν χώραν (αὐτὸν B'), ἐφ' οἷς ἔπραξε, ποιῶ πρὸς αὐτὸν ἕτερον πόλεμον κ. τοῦτον μέγιστον Arm. (B') 15 ἐλθὲ A ἀμύνομαι A 16 ἀνάκτησαι A, corr. e cett. διεκδικῆσαι Byz. 17 τῆς τῶν προγόνων ἡμῶν φιλίας τε καὶ δικ. Arm. (Syr.) πλεῖστα B' Arm. 18 μὴν A 19 χορήγησον B' Byz. εὐώνωι A 20 ἐδεσμάτων τὲ γ. A 22 χορηγίοις Ausf. 25 νιδίαν A 26 ἐμβατάνοις· ἠκούετο δὲ A, corr. ex Arm. τὴν Ἀσίαν A 27 προσηγγέλλει A 28 πύλας: πλησίον τῇ Θαλίδι χώρᾳ εἰς Γιλάνην χωρίον add. Arm.

τὸν διωγμὸν ἀκούσας παρά τινων, ὅτι πλησίον εἴη· Βαγιστάνου ⟨δὲ⟩ τοῦ
εὐνούχου αὐτομολήσαντος ⟨καὶ ἀπαγγείλαντος⟩ πάντα πρὸς ἀλήθειαν
εὐτολμότερον τὸν διωγμὸν ἐποιεῖτο.

Ὡς δὲ ἐπέγνωσαν οἱ τοῦ Δαρείου σατράπαι ... Βῆσσος καὶ Ἀριοβαρ- 20
ζάνης παρατραπέντες ἐβουλεύσαντο τὸν Δαρεῖον ἀναιρῆσαι, οἰόμενοι γέρας
λαμβάνειν παρὰ Ἀλεξάνδρου ὡς ἀναιρήσαντες αὐτοῦ τὸν ἐχθρόν. οὕτως 2
.. ἐπήνεγκαν Δαρείῳ ἐξιφωμένας τὰς χεῖρας· ὁ δὲ τοὺς πονηροὺς Δαρεῖος
ἰδὼν εἶπεν· ʿὯ ἐμοῦ δεσπόται οἱ τὸ πρίν μου δοῦλοι, τί τοσοῦτον ἠδίκησα 3
ὑμᾶς, ἵνα με ἀνέλητε; μὴ χείρονα μήσασθε τοῦ Ἀλεξάνδρου· ἐάσατέ με
οὕτως ἐπὶ τὰ μέλαθρα ῥιφέντα

ἀναστενάζειν τὴν δυσέκβατον τύχην.
ἐὰν γὰρ ἐλθὼν ὁ βασιλεὺς Ἀλέξανδρος
εὕρῃ σφαγέντα βασιλέα λῃστρικῇ γνώμῃ,
ἔμ' ἐκδικήσει. οὐ θέμις γὰρ ὀφθῆναι
⟨βασιλεῖ⟩ βασιλέα δολοφονηθέντα οἰκτίστως.ʾ

Καὶ ὁ μὲν Δαρεῖος ἀντεῖχε πρὸς τοὺς πονηρούς. αὐτοῦ δὲ τὰς χεῖρας 4
ἀντέχοντος αἱ πληγαὶ τοῦ ξίφους οὐκ ἐγίνοντο καίριοι, ἀλλὰ πλάγιοι ἐγίνοντο.
οἱ δὲ Μακεδόνες τὸν Στράγγαν ποταμὸν παγέντα εὑρόντες διεπέρασαν· καὶ
ὁ Ἀλέξανδρος εἰσεπήδησεν εἰς τὰ βασίλεια Δαρείου. οἱ δὲ ἀσεβεῖς μαθόντες 5
τὴν εἴσοδον αὐτοῦ προλείψαντες τὸν Δαρεῖον ἡμίπνουν ἀποφεύγουσιν,
μέχρις οὗ μάθωσιν ποίαν γνώμην ἔχει περὶ αὐτῶν ὁ Ἀλέξανδρος. ὁ οὖν
Ἀλέξανδρος καταλαμβάνει Δαρεῖον ἡμίπνουν, καὶ ἐπιστὰς αὐτῷ πάνυ ἐδά-
κρυσεν καὶ τῇ βασιλικῇ χλαμύδι αὐτοῦ τὸ σῶμα αὐτοῦ ἐπέσκεπε. τὰς 6
χεῖρας δὲ αὐτοῦ ἐπιθεὶς ἐπὶ τὸ Δαρείου

στῆθος τοίους ἔλεξε συμπαθεῖς μύθους·
ʿἀνάστα, φησί, τῆς τύχης ὦ Δαρεῖε
καὶ τῶν σεαυτοῦ δεσπότης πάλιν γίνου.
δέξαι σοῦ τὸ διάδημα Περσικοῦ πλήθους,
ἔχε σοῦ τὸ μέγεθος τῆς τυραννικῆς δόξης.
ὄμνυμί σοι, Δαρεῖε, τοὺς θεοὺς πάντας, 7

1 Βαγιστάνου Ausf.: ὁ βασιλ A Γιστάνου Arm. *Bazanus* Val. add. fere ex Arm. 3 εὐτολμηρότερον A 4 ἐπέγνων A adde τὸν Ἀλ. ἐγγίζοντα e B′ cett. βάσσων καὶ ἀρβαρζάνης A, et possis Ναβαρζάνης 5 περιτραπέντες A παρατρ. τὰς φρενοβλαβεῖς γνώμας B′ Arm. 6 δσ ἀνηιρήσαντες A 7 supple κακῶς βουλευσάμενοι ex B′ cett. δαρεῖον A 8 μου: μοι A 9 χεῖρα μιμήσασθε A μὴ πλέον ὑμεῖς Μακεδόνων τι δράσετε B′ (sim. cett.) ἐάσατε B′ cett.: ἄρατε A 11 formam metricam solus habet A 13 possis ἄνακτα 14 εὐ ἐκδ. A inde ab οὐ solus habet A 15 add. Ausf. οἰκτίστων A 18 στράγαν A 19 ἀσεβεῖς (vel δυσσεβεῖς) B′ Arm.: βασιλεῖς A 24 τοῦ δαρείου A 25 carmen contraxit B′ Byz. 30 σοι B′: σε A

ὡς ταῦτ᾽ ἀληθῶς καὶ οὐ πεπλασμένως φράζω·
μόνῳ παραχωρῶ τὸ διάδημα τῶν σκήπτρων.
μετὰ σοῦ γὰρ αὐτὸς καὶ τροφῆς ἐκοινώνουν.
ἐπὶ σαῖς τραπέζαις σὴν ἀν᾽ ἑσίαν † χεῖραν,
ἡνίκα παρήμην ἄγγελος Ἀλεξάνδρου.
ἀλλ᾽ ἐξανάστα καὶ κράτυνε τῆς χώρας. 8
οὐ δεῖ βασιλέα δυστυχοῦντα λυπεῖσθαι·
ἰσότης γὰρ ἀνθρώποισι περὶ τέλους μοίρης.
τίνες δέ σ᾽ οἱ τρώσαντες; εἰπὲ Δαρεῖε.
μήνυσον αὐτούς, ἵνα με ἔκδικον ἔχῃς.᾽

ταῦτα λέγοντος Ἀλεξάνδρου ἐστέναξεν ὁ Δαρεῖος καὶ ἐπισπασάμενος 9
αὐτὸν καὶ τὰς χεῖρας καὶ τὸ

στῆθος φιλήσας εἶπε· ‛Τέκνον Ἀλέξανδρε,
μηδέποτ᾽ ἐπαρθῇς τῇ τυραννικῇ δόξῃ.
⟨ὁπ⟩ότε γὰρ ἔργον ἰσόθεον κατορθώσεις
καὶ χερσὶ ταῖς σαῖς οὐρανοῦ δόξεις ψαύειν,
σκόπει τὸ μέλλον· ἡ τύχη γὰρ οὐκ οἶδεν
† βασιλέα ἢ ληστὴν οὔτε πλῆθος †
ἀκρίτῳ δὲ ῥοίζῳ † παντὶ κακῶς ἐκρίπτεται.
ὅρα τίς ἤμην καὶ τίς ἐγενόμην τλήμων· 10
ὁ τῆς τοσαύτης ⟨ἄρτι⟩ κύριος γύης
νῦν οὐδ᾽ ἐμαυτοῦ δεσπότης ἀποθνήσκω.
θάψον με ταῖς σαῖς εὐσεβεστάταις χερσίν,
κηδευσάτωσαν Μακεδόνες ⟨με⟩ καὶ Πέρσαι.
μία γενέσθω συγγένεια Δαρείῳ.
τὴν δ᾽ ἐμὲ τεκοῦσαν παραδίδωμί σοι τλήμων, 11

1 *ταῦτα* Arm.: *ὅτι ἐγὼ* A   *φράζω* B′: *λέγω* A   2 *μόνος παρέχω* A *σοὶ μόνῳ εὔχομαι τὸ διάδημα εἶναι* Arm. Possis etiam *παρέχω ⟨σοι⟩*   3 *ἐκοινώνει* A   4 *ταῖς τρ. τὴν ἀνεστίαν* A *σὺν σοὶ γὰρ καὶ ἐγὼ ἀνακλιθεὶς συμπαρῆν τῇ τραπέζῃ τοῦ δείπνου τῇ χειρί* Arm. *χαίρων* Rad.   5 absonum esset *ἀγγελίην*   7 *δὴ* A   8 *ἰσότην γὰρ ἀν(θρωπ)οις· ἡ π. τ. μύρις* A *ἰσότης γὰρ τοῖς ἀ. πρὸς τὸ θανάτου τέλος καὶ ἀπ᾽ αὐτοῦ οὐδεὶς ἀνασώζεσθαι αὐχεῖ* Arm.   10 *ἵνα σε νῦν ἀναπαύσω* B′ et add. *ἐκ τῶν ἀλγῶν* Arm. *ἵνα φονεύσω τούτους* Byz. Estne versus?   14 *μήποτε* A B′ *τυραννικῇ δόξῃ* B′ (*δόξῃ* etiam Arm. Byz.): *βασιλικῆι τάξει* A   16 *οὐρανοὺς* A   18 *βασ. οὐδὲ ἡγεμόνα, οὐκ ἰδιώτην οὐδὲ τὸ πλῆθος* Arm. *nihil enim interest, quod dispescat regiam nostram aut plebeculae dignitatem* Val. Displicet *βασιλέα, ληστήν οὐκ ἰδιώτην οὐ πλ.*   19 *ἀκρίτῳ δὲ γνώμῃ πανταχόθεν ῥέμβεται* B′ Arm. Nempe *παγκάκως*, et *ἐκριπτεῖται* (sc. rex)?   21 *κύρον* A   facile *γαίης*   23 *εὐσεβεστάτοις* A   24 add. ex B′   *καὶ μὴ Πέρσαι· βάρβαροι μὴ γένωνται Δαρείῳ εἰς συγγένειαν* Arm.   25 *μία ⟨γὰρ⟩* Rad.   *Δαρ. καὶ Ἀλεξάνδρῳ* B′ *συγγ. δὲ μία Περσῶν καὶ Μακεδόνων τε καλῶς προσγενηθήτω* Byz.

καὶ τὴν γυναῖκα ὡς σύναιμον οἴκτειρον.
καὶ τὴν θυγατέρα Ῥωξάνην δίδωμί σοι,
ἵν' εἴ τι καὶ ἐν φθιτοῖσι λείπεται γνώμης,
οἱ δύο γονῆες ἐπὶ τέκνοισι καυχῶνται,
σοὶ μὲν Φίλιππος, Ῥωξάνῃ δὲ Δαρεῖος.

τοσαῦτα λέξας ὁ βασιλεὺς Δαρεῖος ἔλειψε τὸ πνεῦμα ἐν χερσὶν 12
Ἀλεξάνδρου.

Ὁ δὲ Ἀλέξανδρος τὸ τούτου σῶμα βασιλικῶς θάψαι καὶ ἐγχωρίως ἐκ- 21
έλευσε ⟨καὶ τοὺς⟩ πρώτους Μακεδόνας καὶ Πέρσας ἐνόπλους προάγειν αὐτοῦ·
αὐτὸς δὲ ὑποθεὶς τὸν ὦμον μετὰ τῶν Περσῶν ἐβάσταξε τὴν τοῦ Δαρείου
κλίνην. οἱ δὲ Πέρσαι οὐ τοσοῦτον ἐδάκρυον τὸν Δαρεῖον, ὅσον συνεπάθουν 2
καὶ ὑπερηγάπων τὸν Ἀλέξανδρον. καὶ ὁ μὲν Ἀλέξανδρος ἀποθέμενος αὐτὸν
εἰς τάφον βασιλικὸν καὶ βουθυτήσας ἀγῶνά τε ἐπιτάφιον ἄξας νόμον τε
καὶ πρόσταγμα ἔθετο Πέρσαις τοιοῦτον·

Ἁ'Βασιλεὺς Ἀλέξανδρος ἐκ βασιλέως θεοῦ Ἄμμωνος καὶ Ὀλυμπιάδος 3
βασιλίδος τοῖς κατὰ τὴν Περσίδα πᾶσαν ἔν τε χώραις καὶ πόλεσι λέγει.
εὐκταῖον μὲν ἦν τοσαύτας μυριάδας μὴ κακῶς ἀπολέσθαι· εἰ δὲ ὁ δαίμων
ἠθέλησέ με κατὰ Περσῶν νικηφόρον ... καὶ † γὰρ θεοῖς πᾶσιν. γινώσκετε 4
οὖν με καθεστακέναι σατράπας εἰς ὑμᾶς, οἷς χρὴ ὑπηκόους εἶναι ὡς ἐπὶ
Δαρείου, ἵνα μηδὲ εἰδῆτε ἕτερον βασιλέα εἰ μὴ Ἀλέξανδρον νεώτερον.
προσχρήσασθαι δὲ τοῖς ἰδίοις νόμοις ὑμᾶς οὐ κωλύω ταῖς τε ἑορταῖς καὶ 5
πανηγύρεσι καὶ ὅσα ἐμφύλια ἦν. † ἢ ὑμεῖς ὑμῖν μὲν τοιοῦ βιώσετε †. Πέρ- 6
σης εἰ μὴ .. πόλιν κατοικήσει, ὡς ἀποστάτης κολασθήσεται. τὰ δὲ ὑπάρ-

1 ὡσ σῦνεμὸν (σ corr. in ο) οἰκέτην A, corr. Raabe ex Arm. ὡς ἐμὲ οἴκτ. B′ Facile ⟨δ'⟩ ὡς aut ὅπως. Cf. Christensen 48 3 γνώμηι A 4 σὺ δύο γενεαῖς ἐπὶ τέκνοις κάχονται (vel. κέχ.) A, corr. e cett. (δύο γενεαὶ ἐπὶ τεκοῦσι καυχήσωνται Arm.) 5 σὺ μὲν φιλίππωι· ῥωξάνη δὲ δαρείωι A (item cett.) Arm. addit nonnulla de Darei sorore Dagipharta et fratre Oxydarca 8 θάψας A Ἀλ. συμπαθῶς κλαύσας τὸν Δ. ἐκέλευσε τὸ σῶμα αὐτοῦ βαστάζεσθαι, θάψαι δὲ αὐτὸν Περσικῷ νόμῳ ὡς βασιλέα B′ (Arm. Val.) ἐγχώρους A 9 πρὸ τοὺς A πρώτους Πέρσας προάγειν καὶ ὄπισθεν Μακεδόνας fere B′ Byz. αὐτοὺς A 10 Περσῶν A Leo: σατραπῶν B′ Arm. (Syr.) 11 πέρσαι οὗτοι· οὕτω ἐδ. A 12 αὐτῶι A 15 βασιλέων A ἐκ β. θ. Ἀ. etiam Arm.: υἱὸς Φιλίππου βασ. B′ et possis βασ. ⟨Φιλίππου καὶ⟩ θεοῦ 16 τοὺς A χώρεσιν A 17 edictum plenum etiam in Arm. Syr., in cett. contractum 18 supple fere εἶναι, εὐχαριστῶ τῇ προνοίᾳ καὶ θ. π. ex B′ Arm. (qui add. καὶ θεαῖς) 19 κατεστακέναι A 20 ἵνα Arm.: ἦν A 21 προσχρ. corr. in πῶσ χρ. A νόμοις Arm.: τόποις A 22 παν. καὶ εὐωχίαις καὶ βουθυσίαις B′ (Byz.) Arm. *eaedem sollemnitates et suavia* Val. ἕκαστος ἢ τάξει βίου ἐπέτυχεν ἐν τῇ βιοτείᾳ μενέτω Πέρσης Arm. ἕκαστος ὑμῶν ἐν τῇ ἰδίᾳ μονῇ βιώτω B′ (Byz.) Fort. ὑμῖν ad ἐμφύλια pertinebat ἐὰν δὲ Πέρσης καταλείψῃ τὴν ἰδίαν χώραν ἢ τόπον καὶ ἀλλοδαπὴν κατοικήσῃ B′ 23 supple fere τὴν ἰδίαν

χοντα ὑμῖν συγχωρῶ· ἕκαστος κυριευέτω τῶν ἰδίων πλὴν χρυσοῦ καὶ ἀργύρου,
ἐν ᾧ γαυριῶνται ἀγαθός τε καὶ κακός· νόμισμα δὲ ὃ ἔχετε συγχωρῶ. πᾶν 7
δ' ἀμυντήριον ⟨ὅπλον⟩ κελεύω ἀναφέρεσθαι εἰς τὰς ἀποδεδειγμένας ἀπο-
θήκας. τοῖς δὲ σατράπαις, οἷς ἐὰν δοκιμάσω, τούτοις καὶ ἀριθμὸν δυνά-
μεως ἐπιμετρήσω καὶ μέτρον καθοπλισμοῦ. ἀγῶνας δέ, οὓς ἔθος ἐστὶν 8
ἄγεσθαι, χρήσονται θέλοντος τοῦ σατράπου. ἔθνος δὲ ἐπ' ἔθνει οὐκ
ἐπιμιγήσεται εἰ μὴ ἐμπορείας χάριν, καὶ ταῦτα ἕως κ' ἀνδρῶν, ἢ ὡς πολέ-
μιος Περσικῷ νόμῳ κολασθήσεται. ἔμποροι δὲ πάντες τῇ αὐτῇ ἐργασίᾳ 9
προσχράσθωσαν ὡς καὶ ἐπὶ Δαρείου, τέλη τε ἀγρῶν καὶ τῶν φυτικῶν
πάντων κατὰ τὸ ἔθος ⟨λήψομαι⟩. βούλομαι γὰρ τὴν χώραν ἐν εὐθηνίᾳ
καταστῆσαι. τὰς δὲ ὁδοὺς τῆς Περσίδος πραγματεύεσθαι εἰρηνικῶς, ὅπως 10
καὶ οἱ ἀπὸ τῆς Ἑλλάδος εὐκόπως εἰς ὁποίαν ἐὰν βούλωνται πόλιν τῆς
Περσίδος πορεύωνται. ἀπὸ γὰρ τοῦ Εὐφράτου ποταμοῦ [καὶ] τῆς διαβάσεως 11
καὶ τῆς ἀρχῆς τῆς ὁδοῦ διὰ ἡμισχοίνου ἑκάστῳ σατράπῃ ἀπέστειλα ὁδὸν
ποιῆσαι καὶ διὰ σχοίνου ἐγγράψαι, ὅπου ἡ ὁδὸς φέρει· καί τι σημεῖον, εἰ
δύο ὁδοὶ κατὰ ταὐτὸ τύχοιεν ἢ πλείους, ὥσπερ εἰσὶν † ἄπλατοι ὁδοί.
⟨τὰς⟩ οὖν ἐπὶ τὰς ἐν ταῖς ὁδοῖς γεγοννίας φροντίδας [τὰς] ἐπὶ Δαρείου 12

1 χ̊ καὶ ἄργυρος A post ἀργύρου add. τὸν γὰρ χρυσὸν καὶ τὸν ἄργυρον κελεύω ἀναφέρεσθαι ἐν ταῖς ἡμετέραις πόλεσιν B' (ἐμοῖς τοῖς ταμιείοις Byz., sim. Arm. 2 ἐν ᾧ — κακός etiam Arm. *quae communis hic usus magis esse regia confitetur* Val. νόμισμα: uberiora haec in Arm. (aurum et argentum deferte ad magistratus, nummos factos in usum vestrum retinete) ὃ: τὸ A πᾶν δὴ μυντήριον A 3 add. B' Arm. (qui add. καὶ τὰς ἀσπίδας) ἀναφερέσθω A ἀποδειγμένας A ὁπλοθήκας B' Byz. Arm. 4 ἃς ἂν δοκιμάσωσι μεθ' ἑαυτῶν δυνάμεις, ταύτας καὶ ὁπλίσουσιν Arm. 5 ἀγῶνας τὲ ὡς A 6 θέλοντες A ἐπέθνη A (ἐπ' abundat) 7 ἐπιβήσεται B' μὴ ἐὰν πορείας A κ' B' Arm. (Syr.): κατὰ A *ad decem vigintive* Val. (Syr.) 9 τέλη κτλ.: ἐτελεῖτε. ἀγρῶν δὲ καὶ τῶν ἄλλων πάντων, ὧν αὐτῷ τρία μέρη φόρον ἐφέρετε, ἐγὼ δύο λήψομαι Arm. κἀγὼ τὸ μέρος λήψομαι κατὰ τοὺς νόμους ὑμῶν ὡς ἐπὶ Δαρείου B 10 εὐθηνίᾳ: cf. Syll. or. gr. 90, 12 11 καταντῆσαι A ὅπως κτλ.: *ut euntes et redeuntes cum negotiis nihil patiantur mali* Leo (cf. Syr. Val.) 13 ἐμπορεύωνται B' Byz. ἀπὸ sqq.: cf. Ausfeld Rh. Mus. 52, 558 ἀπὸ: αὐτὸ A 14 ὁδοῦ: adde ἕως Βαβυλῶνος ex B' (qui τοῦ Εὐ. καὶ τ. δ. ἐπὶ τὸν Τίγριν ποταμὸν ἕως Μηδίας ⟨καὶ add. Byz.⟩ Βαβυλῶνος ὁδοποιήσω) *usque Ellada* Leo Syr. ἑκάστη A facile ἐπέτειλα satrapas dicere vid. ὑπάρχους (RE II A 136, 57); quamquam sic quoque mirum singulis haud maiorem viae partem attribui 15 π. διασχοίνου καὶ ἐνέγραψα A, corr. Ausf. π. διὰ σχοίνου (*Schoinos um Schoinos*) καὶ ἐπιγράφειν Arm. φέρει, καὶ τοῦτο δῆλον ἔσται ἐν ταῖς ὁδοῖς. Δαρεῖον δὲ ἐγὼ οὐκ ἀνεῖλον (= p. 95, 10) intermediis omissis B' Byz. σημ. ⟨ποιεῖν⟩ Raabe εἰ δύο ὁ. κατὰ ταὐτὸ Arm.: ἰδοὺ δὲ αἱ ὁ. κατ' αὐτὸ A 16 πλατεῖαι Arm. unde αἱ πλ. Rad. Displicet ἢ πλ. παρίασιν ὁδοὶ καὶ ἀπέραντον τὸ ξηρόν Arm. 17 ἐπεὶ οὖν τὰς ἐν τοῖς ὁ. A, corr. Ausf. Structura nondum sanata; possis ἔτι οὖν τὰς . . . φρ. τὰς ἐ. Δ. συντάσσεσθαι εἰθ.

συντάξεις εἰθισμένας εἰς τὰ ἱερὰ χαρίζομαι τοῖς θεοῖς, μάλιστα θεῷ Σαράπι
καὶ Διί. ἐπεὶ δὲ ἀξίως κατέναντι τῶν Κύρου γενεσίων τὰ ἐμὰ βούλεσθε 13
ἄγεσθαι, συντέταχα Μοσχύλῳ τῷ σατράπῃ, ἵνα καὶ ταῦτα καὶ τὰ Κύρου
γενέσια ἄγητε μετὰ εὐωχίας καὶ ἀγώνων· τοῦ δὲ ἀγωνισμοῦ θεωροὶ ἔστωσαν
Πέρσαι καὶ ἆθλα τεθήσεται Πέρσαις ὁποῖα χρῄζετε. βούλομαι δὲ τὴν 14
παρθένον τὴν στεφανουμένην, ἐὰν πολῖτις ᾖ ἡμετέρα, ἄχρι τέλους λαμβάνειν
εἰς τιμὴν ἐνιαυσιαίαν τὸ ἴσον τῷ στεφάνῳ καὶ μένειν αὐτὴν ἄχρι τέλους
ἱέρειαν· ἐὰν δὲ αὐτὴν ἡ φύσις καταλάβῃ καὶ γυναῖκα ποιήσῃ, δοθῆναι αὐτῇ
τὸ τίμημα εἰς λόγον προικός· τοῦτο † γὰρ δίκαιον καὶ τῇ παραλαμβανούσῃ
τὴν ἱερωσύνην. τὸ δὲ γυμνάσιον γενέσθω ἐν ἐπισήμῳ τόπῳ ὡς ἐν Πέλλῃ 15
τῇ πόλει· τὰς δὲ αἱρέσεις ἐγὼ αὐτὸς ποιήσομαι, ἄχρι περίειμι, μετὰ δὲ
τὴν ἐμὴν τελευτήν, οἷς καὶ τὴν χώραν τήνδε δέδωκα δυνάσταις. δοθήσεται 16
δὲ ἅρματι πολεμιστηρίῳ φιάλη χρυσᾶ ἔχουσα † οἴκου στατῆρα καὶ ἄλλαι
ἐνάργυροι ε′, ἑκάστη χωροῦσα μέτρον, ἀφ᾽ οὗ δυνήσεται ἄνθρωπος σώφρων
μεθυσθῆναι· ἵππῳ πολεμιστῇ φιάλη ἰσόσταθμος καὶ <*στολὴ*> *Περσικὴ* ...
εἰς τὸ Ἀλεξανδρινὸν δεῖπνον διὰ βίου. ὃς δ᾽ ἂν λαχὼν νικήσῃ κατὰ τὸν 17
Περσῶν νόμον, στέφανον ἕξει χρυσοῦν .. † *ἀρτὴρ ἡ στολὴ Περσικὴ λιτὴ καὶ*
ζώνη χρυσῆ καὶ φιάλαι δύο ἀνὰ στατῆρας ρο′. καὶ τὰς † ἐπινείας ἐξέστω 18
εἰς τὸ Ἀλεξανδρινὸν ἱερὸν † ζητεῖσθαι σατράπας πάντας τοὺς ἐμοὺς ὄντας

---

1 *εἰθισμένος* A *εἰς τὰ ἱερὰ* Arm.: *εἰς τέσσαρα* A *μάλ. δὴ ὡς ἄβαριν καὶ δίαν* A *μάλ. εἰς Δροσοβάρην* Arm., corr. Ausf. (timeo ut recte) 2 *ἐπειδὴ ἀξ.* A *βούλομαι* Arm. 3 *μουσχούλωι* A *Moskyla* Arm. 4 *τότε ἀγωνίμου* A 5 *πέρσαι* (quo servato *ἀθλοτεθήσονται* Ausf.) *ἐπεὶ χρήιζει* A 6 *πολίτης* (corr. Rad.) *ἦν* A *τὴν πόλιν ἡμῶν, ἐφ᾽ ὅσον παρθένος μένει, ἱέρειαν εἶναι τῆς μητρός μου* Arm. *daß Jungfrauen in den Tempel des Gottes, den meine Mutter Olympias verehrt, für ein Jahr zum Dienste der Götter hineingehen* Syr., unde *ἕως ἂν προπολῇ τῇ ἡμετέρᾳ μητρί* Ausf. 7 *ἐνιαυσιαῖον τοῖς ὄντως στεφάνωι* A *ἐν. τάλαντον ἴσον τῷ στ.* Arm. 8 *ἱερὰ* A, corr. Ausf. *φύσις*: *wenn sie das Alter erreicht haben, um heiraten zu können* Syr. 9 *λόγω* A *καὶ τὸ αὐτὸ δίκ. καὶ τῇ τ. ἱ. π. μενεῖ* Arm. Pertinent haec ad successorem sacerdotis, quae tunc erat: scr. *τὸ* pro *γὰρ* 10 *τῆι ἱερωσύνηι* A *Πέλλῃ* A: *Ἑλληνικῇ* Arm. melius 11 *αἱρέσεις* dilectus *αὐτῆι* A 12 *οἷς καὶ* scripsi (*οἷς ἂν* Ausf.): *οἶμαι* A Arm. *δέδοικα δύνασθαι* A, corr. Ausf. (*δέδωκα* Arm.) 13 *ἔχ. σταθμὸν στατῆρας χιλίους διακοσίους* Arm. *von zwölf Denaren, die acht Lot wiegen* Syr. *σηκὸν στατήρων ͵α* Ausf. Malim *ὁλκὴν στ. ͵ασ′* 14 *ἐν ἀργυραῖε* A *ε′* etiam Syr., om. Arm. *ἄ. εὐσθενὴς σώφρ.* Arm. 15 *ἵππη πολεμιστὴ* A *ἰσ. καὶ σικῆ· καὶ εἰς τὸν* A, corr. Ausf. (*στολὴ Μηδικὴ* Arm.) 16 *δεῖπν. τὸ καθημερινόν, οὗ ἂν λ. ν.* Arm. 16 verbum add. ante *εἰς τὸ* velut *εἰσίτω ὡς* A *λαχὼν* ex auctoris verbis explanari nequit; *ἀγῶνα* Rad. 17 *χρυσίον* A *ἀρτὴρ*: latet *ἀορτήρ* (om. Arm.) *καὶ στ.* *λιτῆι κ. ζώνηι χρυσῆι* A accusativos Arm. 18 *ρο′* Syr.: *ρθ′* A *ρπ′* Arm. *τὸν ἐπινίκιον . . . ἐσθίειν ἄρτον* Arm. 19 *ἐξηγεῖσθαι* Ausf. An *σιτεῖσθαι*? *οἳ ἐν Περσίδι εἰσὶν ἄρχοντες Περσικοὶ πολῖται, οἳ οὐκ ἐναντίοι τοῦ βασιλέως εἰσίν* Arm.

ἐν Περσίδι, ἄρχοντας οὐ τυράννους ὄντας. † τόσον οἱ τῶν ἀγώνων ἐπίτροποι 19
ἔστωσαν οἱ ἡμέτεροι Ἀλεξανδρεῖς οἱ καὶ ἱερεῖς τοῦ Ἀλεξανδρινοῦ. Μοσχύλος
δὲ ὁ κτίσας τὸ Ἀλεξανδρινὸν ἱερὸν φέρει στέφανον χρυσοῦν καὶ στολὴν
πορφυρᾶν, καὶ μάλιστα ταῖς ἐπισήμοις ἡμέραις. ἑταῖραι δὲ μὴ εἰσίτωσαν 20
εἰς τὸ ἱερόν· κατὰ πάντα δὲ τρόπον ἐξοίκιστον ἤτω τὸ Μηδικὸν γένος.
βούλομαι δὲ μὴ ἐν ἑαυτοῖς κρίνειν, ὅσον τις ὑμῶν ἔχει πρὸς ἕτερον, οὐδὲ 21
ἐφ᾽ οὗ βούλεσθε, καὶ μάλιστα περὶ κεφαλικοῦ· ἐὰν δέ τις φανῇ ἐκτὸς βου-
λευτηρίου συνάγων ἢ σατράπας ἢ † συνέχων, ὡς πολέμιος ἀπολέσθω.᾽
Ἐπεὶ δὲ πάλιν ταῦτα ἐτέλεσε, συνέγραψεν Ἀλέξανδρος λέγων· ῾Μέγαν 22
δυνάστην καθεῖλαν ἐμὸν ἐχθρόν, ὑμῶν κύριον Δαρεῖον· οὐκ ἐγὼ δὲ αὐτὸν
καθεῖλον, ἀλλά τινες, οὓς ἀγνοῶ, οἷς μεγάλας δωρεὰς ὀφείλω. σατραπίας
γὰρ ὁποίας βούλονται χαρίσομαι αὐτοῖς καὶ χώρας μεγίστας· τὸν γὰρ ἐμὸν
ἐχθρὸν ἀνεῖλαν᾽. Οὕτως εἰπόντος τοῦ Ἀλεξάνδρου τὸ Περσικὸν πλῆθος 23
ηὐλαβεῖτο ὡς μέλλον κατασκάπτεσθαι· ὁ δὲ ταῦτα ἀκούων εἶπεν, ὅτι Τοὺς
ἀνελόντας τὸν ἐχθρόν μου μέλλω τιμᾶν· εἴ τις δοῦν Μακεδὼν ἀνεῖλεν
αὐτόν, ἴτω μοι θαρρῶν· εἰ δὲ καὶ Πέρσης τυγχάνει, μὴ φοβείσθω. ὄμνυμι
μητρὸς σωτηρίαν, ὡς περιφανεστάτους αὐτοὺς πᾶσιν ἀνθρώποις ποιήσω.᾽
Οὕτως αὐτοῦ ὀμόσαντος τὸ πλῆθος ἐδάκρυσεν· οἱ δὲ κάκιστοι ἐκεῖνοι 24
Βῆσσος καὶ Ἀριοβαρζάνης αὐτόματοι προσῆλθον τῷ Ἀλεξάνδρῳ λέγοντες·
῾Δέσποτα, ἡμεῖς τὸν ἐχθρόν σου ἀνείλαμεν Δαρεῖον.᾽ ῾Ο δὲ ἀκούσας ἐκέλευσε
δεθῆναι αὐτοὺς καὶ παρὰ τὸν τάφον Δαρείου ἀνασταυρωθῆναι. τῶν δὲ
λεγόντων· ῾Δέσποτα, ὤμοσας τοὺς θεοὺς καὶ τὴν Ὀλυμπιάδος σωτηρίαν᾽

1 an *τούτων τῶν?* *hisce omnibus praesides dedi ex Alexandria mea viros Aegyptios* Val. 2 *μόχυλλος* A *Moschylos* Arm. 3 debebat *οἴσει* (Arm.) vel *φερέτω* (*φορείτω*) 4 *ἡμέραις μου* Arm. *ἑτέραι* A, corr. Rad. *εἰσιέτωσαν* A 5 mirum *ἐξοίκιστον* (dicunt *εἰργέσθω* sim.) *εἴτω* A 6 *ἡμῶν* A 8 *συμμάχους* Müll. *ἄλλην συναγωγήν* Arm. 9 *πάλιν*: *πάντα* Arm. 10 *ὑμῶν* scr.: *ἐμὸν* A 12 *ὠπυίας* corr. in *ὁποίας* A *αὐτούς* A 14 *ὡς μέλλοντος Ἀλεξ. τὴν Περσίδα κατασκάπτειν* B′ Arm. *γνοὺς δὲ Ἀλ. τοῦ πλήθους τὴν λύπην εἶπε πρὸς αὐτούς· τί ὑπονοεῖτε, ὦ Πέρσαι, ὡς μέλλοντός μου καταλιπεῖν ὑμᾶς ἀδόξους κ. ἀσήμους, ὅτι τοὺς ἀνελ.* B′ (Arm.) 15 *μέλλων* A, plura in (Arm.) B′: *εἰ γὰρ ἔζη Δαρεῖος, ἐπεστράτευέ μοι πόλεμον· νῦν δὲ πᾶς πόλεμος πέπαυται* *δὲ οὖν* A, corr. Rad. 16 *εἴτω* corr. in *εἴτε* (poterat *εἴτε τις οὖν Μακ. . . . εἴτε καὶ Π.*); exp. *προσίτω* *δάρρων* A, add. Arm. (cf. B′) *καὶ λαμβανέτω τῆς ἀριστείας δῶρα ὅτι ἂν αὐτὸς αἰτήσηται* 17 *τοὺς θεοὺς καὶ μητρ. μου Ὀλυμπιάδος σωτ.* Arm. Leo (cf. B′ et v. 22) *deos maiestatemque patris Ammonis et Olympiadis matris meae* Val. *ὡς*: *καὶ* A *ἐπισήμους καὶ περιφανεῖς* B′ Arm. Val. Leo *ἀνθρώπους* A 18 *κάκ. οἱ ἀνελόντες Δαρεῖον* B′ Arm. Val. Leo 19 *βάσσος κ. ἀρβαρζάνης* A add. *ὡς ληψόμενοι μέγα δῶρον παρὰ Ἀλεξάνδρου* B′ Arm. (hic praeterea *καὶ ταῦτα ὅτι ὅρκῳ ἐγένετο*) *αὐτόμολοι* A, corr. ex B′ Arm. Leone 22 *βοώντων κ. λεγ.* B′ Arm. Leo *ὄμωσας* A *ὤμ. ἡμῖν· τοὺς ἀναιρήσαντας Δαρεῖον περιφ. κ. ἐ. ποιήσω· καὶ πῶς νῦν κελεύεις ἡμᾶς σταυρωθῆναι, παραβὰς τοὺς ὅρκους οὓς ἐποίησας;* B′ Arm.

ὁ [δὲ] Ἀλέξανδρος εἶπεν· ‘Οὐ δι’ ὑμᾶς οὕτως ἀπολογοῦμαι, ἀλλὰ διὰ τὸ 25
πλῆθος· οὐκ ἄλλως γὰρ ἦν ὑμᾶς ἐμφανεῖς μοι γενέσθαι, εἰ μὴ πρὸς ὀλίγον
ἐπήνεσα τὸν Δαρείου θάνατον. τοῦτο γάρ μοι δι’ εὐχῆς ⟨ἦν⟩, τοὺς ἐκεῖνον
ἀνελόντας κολάσασθαι· εἰ γὰρ τὸν ἴδιον δεσπότην ἀνήρηκαν, πολλῷ μᾶλλον
καὶ εἰς ἐμὲ ... ὑμῖν δὲ κάκιστοι οὐκ ἐφιώρκησα· ὤμοσα γὰρ περιφανεῖς 26
καὶ ἐπισήμους ὑμᾶς ποιῆσαι πᾶσιν ἀνθρώποις· ἔσεσθε δὲ περιφανεῖς καὶ
διάσημοι πᾶσιν ἀνθρώποις ἐπὶ τὸν σταυρὸν κρεμασθέντες.’ Ἅμα σὺν τῇ
ἀποφάσει αὐτοῦ πᾶσα ἡ Περσὶς ὡς θεὸν ἀνευφήμει.

Μετὰ δὲ ἡμέρας ὁ Ἀλέξανδρος ἀποκαταστήσας ἐν εἰρήνῃ τὴν Περσίδα 22
ἐκέλευσεν ὁποῖον δοκιμάζει τὸ ἔθνος σατράπην καθιστᾶν· οἱ δὲ ἐξεβόησαν·
‘Δεόμεθα .. † βασιλέα Ἀδουλίτην Δαρείου πατράδελφον.’ συνεχώρησεν ὁ
Ἀλέξανδρος.

Καὶ γράφει ἐπιστολὴν περιέχουσαν οὕτως· [*Ἐπιστολὴ Ἀλεξάνδρου* 2
Στατείρᾳ.]

‘Ἀλέξανδρος Στατείρᾳ καὶ Ῥοδογούνῃ χαίρειν. ἀντιταξάμενον ἡμῖν
Δαρεῖον ἠμυνάμεθα, ὡς τὸ θεῖον ἐβουλεύσατο, ὃν ἐγὼ ἤθελον ζῶντα ὑπὸ
τὰ ἐμὰ σκῆπτρα εἶναι. καὶ γὰρ πεπτωκότα αὐτὸν τραυματιαῖον ὑπὸ τῶν 3
ἰδίων εὗρον ἐλάχιστον πνεῦμα ἐμπνέοντα· ὃν καὶ ἐλεήσας τῇ ἑαυτοῦ χλαμύδι
συστείλας ἐπυνθανόμην περὶ τῆς ἀπωλείας αὐτοῦ· ὁ δέ μοι παρακατέθηκε
Ῥωξάνην τὴν θυγατέρα καὶ εἰς συμβίωσιν ἔδωκε, περὶ δὲ τῶν ἄλλων οὐκ
ἔφθη μοι ὁμιλῆσαι. τοὺς μὲν οὖν αἰτίους τῆς ἀπωλείας αὐτοῦ ἐπινοίᾳ 4
εὑρὼν ἀνεῖλον αὐτοὺς ἀξίως· ἔδοξε δέ μοι πέμψαι τὸ ἱερὸν σῶμα αὐτοῦ,
ὅπως τοῖς ὑμετέροις θρήνοις κλαύσαντες περιστείλητε. πείθομαι δὲ ὑμᾶς
ἀκηκοέναι τὴν ἀγγελίαν αὐτῶν καὶ μὴ χορτάζεσθαι τῆς λύπης. προσέταξα 5
οὖν ἡρῷον αὐτῷ γενέσθαι παρὰ τοὺς πατρῴους ἥρωας· ἔπεμψα δὲ τὸ
σῶμα αὐτοῦ ἀνιερωθῆναι. [*καὶ*] *ὑμεῖς οὖν τῆς λύπης παύσασθε· ἐγὼ γὰρ*
ὑμᾶς ἀποκαταστήσω εἰς τὰ βασίλεια, ⟨βασιλεύειν⟩ ἐάσας ὧν ἂν αἱρῆσθε

---

2 *οὐκαλῶς γὰρ* A   3 *ἠπειλησάμην* A *ἠπείλησα* B′ Arm., corr. Raabe *τὸν*: *τοῦ* A   5 adde fere *τοιαῦτα ἂν ἐτόλμων* ex B′ Arm.   *ἐφιώρκ.*: cf. Marx Ber. Sächs. Ges. 1900, 311   *περιφάνειαν* A   7 *κρεμμασθέντες* A   8 *θεοὺς* A add. Arm. (cf. B′) *καὶ οἱ κάκιστοι ἐκεῖνοι ἀνεσταυρώθησαν ἐπὶ τοῦ τάφου Δαρείου*, cf. Leo Syr.   10 *καὶ κελεύσας ὁ ὁπ.* A   *ἐκέλευσεν*: oratione directa interrogat in B′ Arm.   11 *δεόμεθα τῆς ἀνδρείας σου, αὐτοκράτορ δέσποτα ἡμῶν βασιλεῦ, ἵνα χαρίσῃ ἡμῖν Ἀδ.* Arm.   *ἀδουλῆ τὴν* A (cf. p. 83, 5), *Ἀρουλίτην* Arm. *Λίτην* BL *Duriti* Leo   *πατραδέλφαν* A   *συεχώρισεν* A   13 *ἐπ. πρὸς τὴν μητέρα Δαρείου κ. τ. γυναῖκα* Arm., sim. cett.   14 *στατῆρι* A (item 15)   15 *δωρωῖ γυνὴ* A   16 *οὐκ ἠμυν.* B′ Byz.   17 *πεπτωκότος* A   19 *περιέστειλα* B′ *παρακαταθήκην* A, in quo latent fort. pristina; cf. Arm. *ὁ δὲ εἰς παραθήκην δοὺς παρέθηκέ μοι ὑμᾶς, δοὺς Ῥωξ.*   23 *ἡμετέροις* A   24 *αὐτῶν* C (sc. *θρήνων*) Raabe: *αὐτοῦ* A   25 *αὐτοῦ* A   26 *ἀνιερ.* A: *τῆς κηδείας ἀξιωθῆναι* Arm. 27 add. ex Arm.   *ἐάσας* (aut *ἔασεν*) *οὖν ἀναιρεῖσθαι* A

ἐθνῶν. ἐπὶ δὲ τοῦ παρόντος διατρίψατε ἐφ᾽ οὗ τόπου ἐστέ, μέχρι ἂν καὶ 6
τὰ ἐνθάδε καταστήσω πράγματα· ἐμάνησαν γάρ τινες ἔτι ἀπειθοῦντες.
κατὰ δὲ τὰς Δαρείου διατάξεις ἠξίωσα καὶ αὐτὸς Ῥωξάνην σύνθρονόν μοι
γενέσθαι· προσκυνεῖτε οὖν ταύτην ὡς Ἀλεξάνδρου γυναῖκα.᾽

Καὶ αὐταὶ ἀντέγραψαν πρὸς τὸν Ἀλέξανδρον οὕτως· ‛Ῥοδογούνη καὶ 7
Στατείρα Ἀλεξάνδρῳ βασιλεῖ χαίρειν. εὐξάμεθα [ἂν] οὐρανίοις θεοῖς τοῖς
κλίνασι τὸ Δαρείου διάδημα καὶ Περσῶν καύχημα αἰώνιόν σε καταστῆσαι
βασιλέα τῆς οἰκουμένης, ὡς λογισμῷ καὶ φρονήσει καὶ δυνάμει ἰσόρροπος
πέφυκας τοῖς Ὀλυμπίοις θεοῖς. οἴδαμεν οὖν, ὅτι ὑπὸ τὰς σὰς ἀγκάλας 8
⟨οὖσαι καλῶς⟩ ζῶμεν· τῇ δὲ τύχῃ ἐπευχόμεθα τὰ κάλλιστά σοι παρασχεῖν
καὶ ζῆν ἀναριθμήτοις χρόνοις, ὅτι οὐχ ὡς αἰχμαλώτοις προσῆλθες πεπτω-
κυίαις εἰς τὰ σὰ σκῆπτρα, ἀλλ᾽ † ἔχεις ταῖς ⟨ὡς⟩ ἐν ὑπεροχῇ γεγενημένας,
μετέπειτα δὲ τεταπεινωμένας. νῦν δὲ οὐκέτι αἰχμάλωτοί ⟨ἐσμεν⟩· νῦν 9
οἴδαμεν Ἀλέξανδρον Δαρεῖον νέον . . . προσκυνοῦμεν. ἐγράψαμεν δὲ τῷ
Περσῶν ἔθνει, ὅπως ἐρωτήσωσι τοὺς ἐν Περσίδι θεούς σε συνθρονισθῆναι
τῷ Διὶ καὶ προσκυνεῖσθαι. Ῥωξάνην δέ, ἣν ἔκρινας σύνθρονον εἶναί σοι, 10
ὡς ἐκέλευσας προσκυνοῦμεν, ὅταν Ζεὺς αὐτὴν εἰς τοὺς γάμους ἄξῃ. ἐγρά- 11
ψαμεν δὲ τῷ Περσῶν ἔθνει, ἵνα εἰδῇ, ὅτι νῦν ⟨νέον⟩ Δαρεῖον ἐπέγνωμεν
καὶ τὰ Δαρείου † εἰσὶ σκῆπτρα πάλιν διὰ τοῦ ἰσοθέου Ἀλεξάνδρου
τοῦ εὐεργέτου Περσῶν. γινώσκετε δὲ Ἀλέξανδρον γαμεῖν Ῥωξάνην·
ἐπεύχεσθε δὲ ἅπασι θεοῖς καὶ πάντας τοὺς ἐν Περσίδι θεοὺς κατάξαντες
προσαγάγετε Ἀλεξάνδρῳ εὐχαριστοῦντες, ὅτι τὸ Περσῶν καύχημα μεῖζον
ὕψωκεν.᾽

Ὁ δὲ Ἀλέξανδρος [μετα]λαβὼν εἶπεν· ‛Παραιτοῦμαι τὰς ἰσοθέους 12
τιμάς· ἐγὼ γὰρ ἄνθρωπος φθαρτὸς γεγένημαι καὶ εὐλαβοῦμαι τὸ τοιοῦτον·

---

1 ἐπὶ: εὖ A διατρίψῃ(ε)τε ἀφοῦ A 3 διατάξεις B′ Byz. Leo: δεξιὰς A (Arm.) 5 αὐτοὶ A δωρωῖ γυνὴ καὶ στατῆρα A 6 τοῖς: τὸ A 7 διάδημα A Syr.: ὄνομα B′ Arm. Val. σοὶ καύχ. αἰ. κατ. ἐν τῇ οἰκουμένῃ, ὃς λ. Arm. 10 add. ex Arm. B′ παρ. κ. τῶν καλλίστων ὅλης τ. οἰκουμένης δεσπόζειν ἐν ἀν. χρ. Arm. B′ 11 πεπτωκυίας A 12 εἰς: exp. ὑπὸ (aut τὰς σὰς χεῖρας) ἔχεις etiam Arm., ex quo add. ὡς; exp. velut τιμᾷς aut ἀλλ᾽ ἐχθὲς ἐν ὑ. γεγενημέναις, μ. δ. τεταπεινωμέναις. Contra B′ fere: ἐλέγχει δὲ ἐξ αὐτῶν τῶν πραγμάτων ὅτι ἐξ ὑπεροχῆς γεγενημένος ὑπάρχεις ἐξ ὑπεροχὴν A 13 ἐσμεν, ἀλλ᾽ οἴδ. Arm. 14 νέον B′: οὐράνιον A adde γεγονέναι ἡμῖν· Ἀλεξάνδρῳ ex B Arm, et post προσκ.: τῷ μὴ καταισχύναντι ἡμᾶς ἐγράψαμεν: dittogr. (v. 17) etiam in Arm. 15 λειφθέντι ἔθνει Arm. 17 πρ. ὡς Ἥραν Arm. ἄξει A ἐγράψαμεν: in Val. Syr. haec nova epistula (ἔγραψαν) 18 ἴδῃς A add. ex B′ 19 ἀνορθοῦται Arm., an κάτεισι? 21 ἐνεύχεσθαι A 23 add. Arm. ἀλλ᾽ εἰς γάμον (ἐν γάμῳ), Πέρσαι, Ἀλέξανδρον διαβοῶντες καὶ διαφημίζοντες προσκυνήσατε 24 μεταλ. etiam Arm., possis τὰ γράμματα λ. exp. ἀντέγραψεν (cf. B′) π. τῶν σῶν θεῶν τιμ. A, corr. ex Arm.

κίνδυνον γὰρ φέρει τὸν περὶ ψυχῆς. ἐπαινῶ δὲ καὶ δέχομαι ὑμῶν τὸ φρόνημα· πειράσομαι οὖν ἄξιον ὑμῶν τοῦ εὐγενοῦς . . περὶ ὑμῶν. ἔρρωσθε.'

Ἔγραψε δὲ καὶ τῇ μητρὶ [μου] Ὀλυμπιάδι καὶ ἐδεξιώσατο τοὺς γάμους 13
. . ἔπεμψεν ἐν Μακεδονίᾳ. ὑστέρῳ δὲ . . .

[Ἐπιστολὴ Ἀλεξάνδρου Ῥωξάνῃ.] ‘Ἀλέξανδρος Ῥωξάνῃ τῇ ἀδελφῇ 14
χαίρειν. γράφων Ὀλυμπιάδι τῇ μητρί μου περὶ ἄλλων τινῶν ἀνηκόντων ἡμῖν προσενετειλάμην τὸν γυναικεῖον κόσμον καὶ ἱματισμὸν Ῥοδογούνης τῆς μητρὸς Δαρείου καὶ τῆς τούτου γυναικὸς Στατείρας . . . ἀποπέπομφα κομίζοντα ὑμῖν Κάρανον, μήτε Ὀλυμπιάδι αὐτῇ δοὺς εἰς διακόσμησιν
μήτε [τὸν] Στατείρᾳ. φοβούμενοι δὲ προσκυνεῖτε τὴν παντέφοπτον 15
Νέμεσιν καὶ Δίκην καὶ τὸν ἰσχυρὸν καὶ μακρὸν ἀπὸ ἑαυτῶν φθόνον ἀποβάλλεσθε, ὅταν ἐνταῦθα . . . τοῦτο γὰρ καὶ πρὸς θεοὺς καὶ ἀνθρώ-
πους δίκαιόν ἐστι τὸ μὴ ὑπερφέρειν τύχῃ. πειρῶ δὲ καὶ αὐτὴ ἄξια 16
φρονεῖν Ἀλεξάνδρου καὶ τὸν φόβον τὸν πρὸς Ὀλυμπιάδα τιμᾶν. ταῦτα οὖν πράσσουσα καὶ σεαυτῇ καὶ ἐμοὶ μεγάλην εὐσχημοσύνην ποιήσεις. ἔρρωσο.'

Θύσας δὲ τοῖς ἐγχωρίοις θεοῖς καὶ ἀναλαβὼν τὴν δύναμιν μαθὼν 17
Πῶρον συμμαχήσοντα Δαρείῳ τὴν ὁδοιπορίαν ἐποιεῖτο πρὸς Ἰνδούς.

---

1 *δέχομαι* Arm.: *ἔγνων* A 2 *φ. τί δράσσομαι* A adde (*ἄξια ὑ. τ. γένους*) *φροντίσαι* ex B′ Arm. (*τοῦ γένους ὑμ. φρ.* B′ *τῶν γονέων ὑμῶν φρ. π. ὑ.* Arm.) 3 *ἔγραψα* A *scripsit matri suae epistolam, ut coleret nuptias suas* Leo *Ὀλ. τοῦ ἀποστεῖλαι τὸν γυν. κόσμον αὐτῆς καὶ τὸν ἱμ.* (v. 7). *δεξαμένη οὖν τὰ γράμματα ἡ Ὀλ. εὐθέως ἡτοίμασε κτλ.* B′ *ἡ δὲ Ὀλ. ἑτοιμάσασα τὴν βασιλικὴν ἐσθῆτα τὴν τιμίαν ⟨καὶ⟩ ὑπερήφανον ὑπὲρ πᾶσαν βασιλικὴν θεωρίαν διεπέμψατο αὐτὰ ἀπὸ Μακεδονίας* Arm. *ἐδεξίωσα* A, corr. (?) ex Arm. 4 Sequebanturne verba de mundo muliebri ab Ol. e Macedonia (*ἐκ Μακεδονίας*) missa? *καὶ ἔπ.* Arm. *iubetque id, quod ex priori praeda mundi regii fuerat Rodogunes atque Roxanes, referri ad eas protinus* Val. 4 *ὑστέρῳ*: cf. Raderm. NTGr. 64 pergebat *ἔγραψεν Ἀλ. ἐπιστολὴν Ῥωξάνῃ περιέχουσαν οὕτως* (cf. B′) 6 *γράφω* A *π. ὑμῶν τινῶν ἀκηκοότων ὑμῖν* A, corr. ex B′ 7 *γυναικεῖον* Arm. B′: *οἰκεῖον* A *δωρωῖ γυνῆς* A haec absurda: Olympias suum, non Rodogunae aut Statirae ornatum mittere potuit 8 *στατήρης* A *πεμφθῆναι ἡμῖν, καὶ τὸ τίμημα πεμφθῆναι αὐτῇ παρ' ἐμοῦ* B′ *ὃν πέπομφα* Arm. Suppleas igitur *πεμφθῆναι ἡμῖν, ὃν* 10 *τὸν στατήρης* A *τὸν Ῥοδογούνης* (pro Olympiade) *μήτε τὸν Στατήρας* Arm. *τῇ μητρὶ Ὀλ. ἀντιδοὺς ἑ. δ. μετρηδὸν στατῆρας* ⟨tot⟩ cl. B′ Ausf. *δὲ*: *τε* A ad normam fictum *παντέφορον* aut *παντεπόπτιν* 11 an *ἄκρον*? 12 *καὶ ὅταν εἰς ταύτας ἐπιβλέψητε, ὑπολάβετε καὶ τὰ πρὸς τούτων ταὐτὰ ἔχειν* Arm. 13 *ὑπερφέρειν* scripsi: *ἐπιβαίνειν* A *ἐπιχαίρειν* Arm. *αὐτῆς* A 15 *σεαυτὴν* A *ποιεῖς* A, corr. ex Arm. 17 sq. haec etiam in Val. hoc loco, in B′ Byz. Arm., in quibus hic longa ad matrem epistula inseritur, initio libri III 18 *Π. ἔρχεσθαι* Arm. *δαρεῖον* A Subscr. **Ἀλεξάνδρου πράξεως* (pro -*εων*) *μέρος β̄· ἐξημερος* (i. e. *ἑξῆς μέρος*) *γ̄*: — A

Γ

Πολλὴν ἔρημον ὁδεύσας καὶ τόπους ἀνύδρους καὶ φαραγγώδεις νάπας 1
[τε] ἔκαμνε μετὰ τῶν στρατευμάτων, ὡς τοὺς ἐξάρχους αὐτῶν λέγειν·
'Ἀρκετῶς ἔχομεν μέχρι Περσῶν ποιήσασθαι τὸν πόλεμον καὶ ὑποτάξαι 2
Δαρεῖον ὡς ἀπαιτοῦντα τοὺς Ἕλληνας φόρους. τί ἄρτι κάμνομεν πορευόμενοι πρὸς Ἰνδοὺς εἰς θηριώδεις τόπους μὴ προσήκοντας τῇ Ἑλλάδι; ἐὰν 3
Ἀλέξανδρος τῇ ἰδίᾳ μεγαλοφροσύνῃ πολεμιστὴς τυγχάνῃ καὶ τὰ τῶν βαρβάρων ἔθνη θέλῃ ὑποτάσσειν, τί αὐτῷ ἡμεῖς ἀκολουθοῦμεν; πορευέσθω μόνος καὶ πολεμείτω, μὴ καὶ ἡμᾶς συναπαγέσθω συμμάχους ἑαυτοῦ τοὺς καμόντας ἐν τοσούτοις πολέμοις ⟨καὶ⟩ κεκμηκότας ἤδη ταῖς πολλαῖς μάχαις καὶ
τοῖς ἐπαλλήλοις ⟨κινδύνοις⟩.' πίπτοντες δὲ ἐπὶ τὸ ἔδαφος ὠδύροντο τά 4
τε ὅπλα ἐπεδείκνυον τεθραυσμένα καὶ δεδαπανημένα ἐσθῆτάς τε τριβείσας ἠμφιεσμένας. δώδεκα γὰρ ἔτη διήνυον [τὸ] τοῖς πολέμοις ⟨καὶ⟩ κατηριθμοῦντο οἱ μὲν ἀδελφοὺς ἀπολωλότας, οἱ δὲ υἱούς, οἱ δὲ πατέρας. Ἀκούσας 5
ταῦτα ὁ Ἀλέξανδρος καὶ ἐκκλησιάσας καὶ στήσας ⟨τὸ⟩ Περσικὸν στράτευμα
χωρὶς καὶ τὸ Μακεδονικὸν μετὰ τῶν ἄλλων Ἑλλήνων εἶπεν· 'Ἄνδρες 6
συστρατιῶται καὶ σύμμαχοι, Μακεδόνες καὶ οἱ ἄλλοι Ἕλληνες (οὗτοι γὰρ οἱ Πέρσαι πολέμιοι ἡμῖν ἐγένοντο)· εἰ [δὲ] διετάξατέ με μόνον πορεύεσθαι πρὸς τοὺς βαρβάρους . . . τοῦτο μέντοιγε ὑμᾶς ὑπομιμνήσκω, ὅτι κἀκείνους τοὺς πολέμους ἐγὼ μόνος ἐνίκησα καὶ ὅσους βούλομαι λαβεῖν πάλιν τῶν
βαρβάρων μόνος νικήσω. ἓν γάρ μου σοφὸν βούλημα πρὸς μάχην τὰς ὑμῶν 7
ἁπάντων ψυχὰς θαρσύνει ἤδη ἀδρανούντων πρὸς τὰ Δαρείου πλήθη. οὐκ ἐγὼ πρῶτος τῆς στρατείας ἐν ταῖς μάχαις ὑπερήσπιζον; οὐκ ἐγὼ ἐμαυτοῦ
ἄγγελος εἰσῆλθον πρὸς Δαρεῖον; οὐ παρεβολευσάμην ⟨ἐν⟩ τοῖς κινδύνοις; 8
εἶτα δὲ πορεύεσθε εἰς Μακεδονίαν μόνοι διασώζοντες αὑτούς, μὴ ἀμφισβη-

2 praemittit Arm.: *πυθόμενος Ἀλ. ἐλέφασι καὶ ἄλλοις θηρίοις ἀγρίοις χρώμενον Πῶρον εἰς πόλεμον τὰς ἐν τοῖς Πέρσαις πεποιημένας χαλκᾶς εἰκόνας ἐκέλευσε προσφέρεσθαι εἰς ἁμάξας καὶ ἄγεσθαι ὀπίσω αὐτοῦ* (cf. infra p. 101, 27). *καὶ οὕτως ἐπορεύετο διὰ πολλῆς ἐρήμου κτλ.* 4 *μέχρι περὶ ὧν* A 5 *ὡς* A B′: melius *τὸν* Arm. 7 *τυγχάνει* et 8 *θέλει* A 9 post *πολεμ.* add. Arm. *τοῦτο ἀρκετόν ἐστιν, ὅτι ἐν σκληρᾷ καὶ ἐρήμῳ χώρᾳ θηριοβρώτους ἐποίησε τοὺς πολλούς.* *μὴ καὶ* — 14 *πατέρας* om. B′ 10 *κεκμηκότες* A *καὶ κεκμ.* — 14 *πατέρας* om. cett. 12 *δαπανημένα* A *αἰσθῆτας τετριβυῖασ* A 13 malim *ἠμφιεσμένοι* *διήνυεν* A *διαννέντα* Müll. 17 *γὰρ* om. B′ 18 *ὑμῖν* A *ὑμῶν καὶ ἐμοῦ* B′ Arm. *Perses isti contrarii sunt mihi et vobis* Leo *und nicht mehr meine noch eure Feinde sind* Syr. *καὶ οὗτοι οἱ Π., οἳ πολ.* Ausf. Utrum includere an excipere vult Persas? *καὶ ἐμοῦ· καὶ νῦν διαγογγύζετε· ἤδη γὰρ διετάξ.* B′ *διστάζετέ με* A, corr. ex B′ Val. 19 *faciam id quidem intrepidus et libens* add. Val. *ἤκουσα γάρ τινων λεγόντων· ἐὰν θέλῃ τοῖς βαρβάροις πολεμεῖν, αὐτὸς ὁ Ἀλ. μόνος πορευέσθω, ἡμᾶς μὴ συναπαγέσθω* Arm. *redite postergum et ite in patriam vestram* Leo 22 *ἀδρανῶν* B *ἀνάνδρων* Arm. *ἀνερᾶν οὖν τὰ* A, unde feci *ἀδρανούντων* 24 *πάρεβουλ.* A 25 *εἰ δὲ* Ausf. ex Leone Val.

τοῦντες πρὸς ἀλλήλους, ἵνα μάθητε ὡς οὐδὲν δύναται στρατιὰ δίχα φρο-
νήματος βασιλέως.'

Οὕτως αὐτοῦ εἰπόντος ἱκέτευον αὐτὸν παῦσαι τῆς ὀργῆς, ἔχειν δὲ
αὐτοὺς συμμάχους μέχρι τέλους. ἐπέτρεψε δὲ τοῖς γεγηρακόσιν ἀπιέναι
ἀποπεμψάμενος αὐτούς· ἐπέστειλε δὲ τοῖς Ἕλλησιν, ὅπως ἀκμαζόντων
ἀνδρῶν στρατὸν πέμψωσιν αὐτῷ.

Καὶ μεθ' ἡμέρας εἰς τοὺς τῆς Ἰνδικῆς ⟨ὅρους⟩ ἐγένοντο· ὑπήντησαν 2
δὲ αὐτῷ γραμματηφόροι Πώρου καὶ ἐπέδωκαν αὐτῷ [τὰ] γράμματα. ὁ δὲ
ἀνεγίνωσκεν οὕτως·

[Ἐπιστολὴ Πώρου βασιλέως Ἰνδῶν Ἀλεξάνδρῳ.] 'Βασιλεὺς Πῶρος 2
Ἰνδῶν Ἀλεξάνδρῳ τῷ τὰς πόλεις λεηλατοῦντι προστάττω. ἄνθρωπος ὢν
τί δύνασαι πρὸς θεόν; τί δέ; τὸ τῶν Περσῶν εὐτύχημα ἀπολέσας, ἀσθε-
νεστέροις συμβαλὼν εἰς μάχην, δοκεῖς σεαυτῷ σθεναρώτερος ἑτέρων εἶναι;
ἐγὼ γὰρ ἀήττητός εἰμι, οὐ μόνον ἀνθρώπων βασιλεὺς ὤν, ἀλλὰ καὶ θεῶν·
παρόντα γὰρ ὃν λέγουσι Διόνυσον ἀπήλασαν τῇ ἰδίᾳ δυνάμει οἱ Ἰνδοί. 3
ὥστε οὐ μόνον συμβουλεύω σοι, ἀλλὰ καὶ κελεύω [σοι] διὰ τάχους ἀπαίρειν
εἰς τὴν Ἑλλάδα. οὔτε γὰρ ἐκφοβήσει με ἡ πρὸς Δαρεῖον μάχη οὔτε ἡ
τῶν ἄλλων ἐθνῶν . . . ὅσα κατὰ τὴν ἐκείνων ἐγένετο ἀδράνειαν τυχηρῶς·
σὺ δὲ δοκεῖς σθεναρὸς ὑπάρχειν. εἰ γὰρ χρείαν εἴχομεν τῆς Ἑλλάδος, 4
πάλαι ἂν [σε] πρὶν Ξέρξου κατεδουλώσαμεν αὐτήν· . . . . καὶ παρ' αὐτῇ
μηδενὸς ὄντος ἀξίου βασιλικῆς θεωρίας οὐκ ἐπετράπημεν . . . πᾶς γὰρ τὸ 5
κρεῖττον ἐπιθυμεῖ ἔχειν, οὐ τὸ ἔλαττον. ὥστε οὖν ἰδοὺ τρίτον σοι λέγω·
σύστρεφε καὶ ὧν μὴ δύνασαι ἄρχειν μὴ ἐπιθύμει.'

Οὕτω δημοσίᾳ ἀναγνοὺς ὁ Ἀλέξανδρος εἶπεν· 'ἄνδρες συστρατιῶται, 6
μὴ πάλιν ὑμᾶς ταράσσει τὰ ἀναγνωσθέντα Πώρου γράμματα; μνήσθητε

4 ἐπέστρεψεν (sic A) — αὐτῷ v. 6 solus habet A 5 αὐτοῖς· ἀπέστειλεν A 7 add. ex B′ cett. 8 Πώρωι A 9 similis epistula in Epit. Mett. § 56 sq. 11 προστ. ἀναχωρεῖν B′ Arm. 12 τοῖς τῶν ἑτέρων εὐτ. A, corr. e Val. Syr. (aliter Ausf.) πρὸς τί δὲ καὶ τὰς τῶν ἑτ. ἀτυχίας καταπατεῖς χαίρων Arm. τί δὲ σοὶ κ. τ. συνοῦσι χειμασίαν παρέχεις, ἀσθενέστερος ὢν πρὸς μάχην, δοκῶν σθεναρώτερός μου εἶναι B′ *quod anxias persequendo homines, qui digni fuerunt sustinere angustiam?* Leo 13 δοκεῖ A ἑτέρωι A debebat πάντων (Raabe) aut Ἰνδῶν (Val.) 14 ἀν͂ωβασιλ͂ευσ i. e. ἀνθρώπω βασιλεύσω A (om. ὢν) 15 ὃν λέγεις θεὸν Arm. *qui apud vos deus existimetur* Val. θεὸν etiam B′ διόνυσσον ἀπήλασσαν A ἀπήλασα Arm. 17 οὐδὲ γὰρ A ἡ om. B′ 18 ἡ τ. ἄλλων ἐθν. ὑπακοή, ὅσα etc. Arm. στυχηρός A 19 δοκεῖ A οὐ γὰρ δοκεῖς B′ σθεναρώτερός μου B′ (Arm.) ὑπ. καίπερ ἀσθενὴς ὤν· ἀλλ' ἐξανάστηθι καὶ ἄπελθε εἰς τὴν Ἑλλάδα Arm. (cf. Syr.) ὥστε οὖν ἄπελθε εἰς τὴν Ἑλλάδα etiam B′ 20 supple νῦν δὲ ὡς ἀχρεῖον ἔθνος τυγχάνον ex B′ Arm. 21 scr. ἐπεστράφημεν ἐπ' αὐτήν cl. B′ Arm. (Leo) 22 post ἔλαττον add. Arm. οὕτω καὶ ἡμεῖς τὴν Ἑλλάδα ἀναξίαν ὑπάρχουσαν ἀφήκαμεν καὶ τῆς πίονος γῆς ἀπολαύομεν. 25 ταρασσέτω cett.

οὖν καὶ ὧν Δαρεῖος ἔγραφεν· ἀληθῶς μία φρόνησις ἦν τοῖς βαρβάροις ἡ
ἀναισθησία. ὥσπερ γὰρ τὰ παρ' αὐτοῖς ζῷα, τίγρεις καὶ παρδάλεις, 7
λέοντες καὶ ἐλέφαντες γαυρούμενοι τῇ περὶ αὐτὰ γενναιότητι καὶ τῇ ποι-
κιλίᾳ τοῦ σώματος ῥᾳδίως ὑπὸ ἀνθρωπίνης φρονήσεως κυνηγοῦνται, οὕτως
καὶ οἱ βασιλεῖς τῶν βαρβάρων γαυρούμενοι τῷ πλήθει τῆς στρατιᾶς ῥᾳδίως
ὑπὸ τῆς φρονήσεως τῶν Ἑλλήνων χειροῦνται.'

Οὕτως ἀποφηνάμενος καὶ θαρσύνας τὴν στρατείαν ἀντιγράφει ἐπιστολὴν 8
Πώρῳ οὕτως· 'Βασιλεὺς Ἀλέξανδρος βασιλεῖ Πώρῳ χαίρειν. ἔτι προθυ-
μοτέρους ἡμᾶς ἐποίησας εἰς μάχην σοι ὀτρυνθῆναι, λέγων τὴν Ἑλλάδα
μηδὲν ἄξιον ἔχειν τῆς Ἰνδῶν χώρας, ὑμᾶς δὲ τοὺς Ἰνδοὺς πάντα κεκτῆσθαι. 9
οἶδας δὲ ὡς πᾶς ἄνθρωπος τὸ κρεῖττον ἐπιθυμεῖ· ἐπεὶ οὖν οἱ Ἕλληνες
ταῦτα οὐκ ἔχομεν, ὑμεῖς δὲ οἱ βάρβαροι ταῦτα κέκτησθε, ἐπιθυμοῦντες τῶν
κρειττόνων οἱ Ἕλληνες ἤλθομεν ἀφ' ὑμῶν αὐτὰ κεκτῆσθαι. γράφεις δέ 10
μοι σεαυτὸν καὶ θεῶν εἶναι βασιλέα, ὥστε καὶ τῶν θεῶν μείζονά σε δύ-
νασθαι. ἐγὼ μὲν οὖν ὡς πρὸς ἄνθρωπον κομπηγόρον καὶ βάρβαρον συμ-
βάλλω τὸν πόλεμον, οὐχ ὡς πρὸς θεόν. θεοῦ γὰρ μίαν πανοπλίαν οὐ
δύναται ὑπενεγκεῖν ἡ σύμπασα οἰκουμένη, ἀστραπῆς φωτισμὸν ἢ κεραυνοῦ
κτύπον. ὡς οὖν σὲ οὐ θαμβοῦσιν τὰ ὑπ' ἐμοῦ πολεμηθέντα ἔθνη, οὐδὲ 11
ἐμὲ δειλαίνουσιν οἱ σοῦ κομπώδεις λόγοι.'

Οὕτως γράψας ἐκπέμπει· Πῶρος δὲ ὠτρύνθη ἀναγνοὺς τὰ γράμματα 3
⟨καὶ⟩ συνάγει τὰ πλήθη καὶ πλείστους ἐλέφαντας καὶ ἕτερα γενναῖα θηρία,
ἅτινα συνεμάχοντο τοῖς Ἰνδοῖς. ὡς δὲ ἦλθον ἐγγὺς οἱ Μακεδόνες καὶ Πέρσαι 2
καὶ ἑώρων τὴν παράταξιν τοῦ πολέμου, ἐφοβήθησαν οὐ τοὺς ὄχλους, ἀλλὰ
τοὺς θῆρας. ἐκεῖ μὲν οὖν ἐδειλάνθη καὶ ὁ Ἀλέξανδρος ὁρῶν τὸ ξένον τῶν
θηρίων· ἀνθρώποις γὰρ ἔθος εἶχε μάχεσθαι. πολλὰ οὖν ἐν ἑαυτῷ σκεψά- 3
μενος καὶ ἐξετάσας τὸν ἴδιον λογισμόν, πῶς δεῖ τοὺς θῆρας φονεῦσαι ἢ
ἀποδιῶξαι, ποιεῖ [δὲ] τί ὁ φρενήρης Ἀλέξανδρος; οὓς γὰρ εἶχε χαλκέους

1 item B′ (Byz.), et oxymoron quamvis insipidum tollere nolui; *ὁμόφρων* Arm. *omnes barbari communem sensum habent* Leo 3 debebat aut *γαυρούμενα* aut *αὐτοὺς* *ποικ. τ. σ.* A Arm. *corporis alacritate* Val.: om. cett. 10 *τῆς Ἰνδ. χ.* A *quod sit dignum ad opulentiam vestram* Val.: *βασιλικῆς θεωρίας* B′ Arm. *πάντα τὰ ἀγαθὰ κεκτ.* (*κέκτηται* A), *καὶ χώρας καὶ πόλεις* Arm. (B′) 11 *οἶδα* B′ *dixisti* Leo Syr. 13 *ὑφ' ἡμῶν* A *κτήσασθαι* B′ 14 *βασιλέων* A 17 *ἢ βροντῆς ἦχον ἢ ἀστρ.* Arm. (cf. B′) *ὥσπερ οὐδ' ἦχον τῆς βροντῆς* Byz. cf. Paul. Ephes. 6, 11. 13 *κτύπος* A 20 *ὀτρυνθεὶς* A. corr. e B′ Arm. *relegit hanc epist. P. et iratus est congregataque multitudine* Leo 22 *σύμμαχον* A (possis etiam *συνεμάχουν*) 23 *πολέμου* A Arm.: *Πώρου* B′ Val. Syr. *Ἀλέξανδρος ἰδὼν ἐφοβήθη* Arm. B′ 25 adde *μάχ.* ⟨*καὶ οὐ θηρίοις*⟩ ex B′ Arm. (Syr.). Iidem (et Byz.) plura add. de Alexandro speculandi causa Pori castra intrante (cf. II 13 sqq.): item Ep. ad Aristot. 203, 5 26 *δὴ* A 27 *ἔσχεν* A

*ἀνδριάντας, τούτους κελεύει πυρωθῆναι ἐπιμελέστατα καὶ διὰ σιδηρέων
ἐργαλείων παραβληθῆναι τοῖς θηρίοις ⟨ἐν⟩ τῇ συμβολῇ τῆς μάχης. καὶ* 4
*δὴ τῆς ὁρμῆς γενομένης ἐπεπήδων τὰ θηρία καὶ τῇ ὁρμῇ ἐδράσσοντο τῶν
ἀνδριάντων καὶ ἀνῆπτον τὰ στόματα αὐτῶν. καὶ οὕτως τὴν ὁρμὴν τῶν
θηρίων κατεπράϋνεν ὁ νουνεχὴς Ἀλέξανδρος.*

Οἱ δὲ Πέρσαι μᾶλλον καταδυναστεύουσι τοὺς Ἰνδοὺς καὶ τούτους ἀπε- 5
*δίωκον τοξοβολίαις καὶ ἱππομαχίαις· πολλὴ δὲ αὐτῶν γίνεται μάχη ἀναι-
ρούντων καὶ ἀναιρουμένων. πίπτει δὲ ὁ Ἀλεξάνδρου ἵππος ὁ Βουκέφαλος* 6
*διαληφθεὶς ὑπὸ τοῦ Πώρου, καὶ ἐξησθένησε τὴν γνώμην· τούτου δὲ γενο-
μένου ἀμελήσας τῆς μάχης αὐτὸς ἑαυτῷ ἔσυρε τὸν ἵππον, μὴ ἀρθῇ ὑπὸ
τῶν πολεμίων.*

Κε΄ οὖν ἡμέρας ἔμειναν πολεμοῦντες καὶ ἔκαμνεν τὸ Ἀλεξάνδρου 4
*στράτευμα, ὥστε αὐτοὺς παραδιδόναι. νοήσας ὁ Ἀλέξανδρος σιγὴν κελεύει
γενέσθαι καὶ ἀπεφήνατο πρὸς Πῶρον· ‘Πῶρε, οὐκ ἔστι τοῦτο βασιλέως* 2
*δύναμις, ἐὰν εἰκῇ τὸ στράτευμα ἀπόληται, ἀλλὰ γενναιότης τοῦ ἰδίου
σώματος, ἐὰν ἑκάτερος ἡμῶν ἔλθῃ εἰς μονομαχίαν περὶ τῆς βασιλείας.’
ἐχάρη ὁ Πῶρος ἐπὶ τούτῳ καὶ ὑπέσχετο μονομαχῆσαι, ὁρῶν τὸ σῶμα τοῦ* 3
*Ἀλεξάνδρου μὴ ἀναλογοῦν πρὸς τὸ ἑαυτοῦ σῶμα· ἦν γὰρ ὁ Πῶρος πηχῶν
ε΄, ὁ δὲ Ἀλέξανδρος πηχῶν γ΄. ἐπεὶ οὖν ἐστάθησαν ἐναντίον ἀλλήλων* 4
*καὶ ἑκατέρων τὰ πλήθη ἀνεκρίνοντο, ἐξαίφνης θροῦς γίνεται εἰς τὸ τοῦ
Πώρου στρατόπεδον. ὡς οὖν ὁ Πῶρος πτυρεὶς ἀπεστράφη, ὁ Ἀλέξανδρος
κυλλάνας ἑαυτοῦ τοὺς πόδας ἐπήδησεν εἰς αὐτὸν καὶ ὑποτιθεὶς τὸ ξίφος
ὑπὸ τὸν βουβῶνα πάραυτα ἀναιρεῖ τὸν Πῶρον.*

Ἤρξαντο δὲ αἱ στρατιαὶ πρὸς ἄλληλα πολεμεῖν· καὶ ὁ Ἀλέξανδρος 5

---

1 *ἐπιμελ. ὡς εἶναι μόνον πῦρ τὸ χάλκωμα* B′ Byz. Arm. *καὶ διὰ* — 2 *μάχης* A: *κ. ἐκέλευσεν αὐτοὺς ἔμπροσθεν στῆναι ὡσεὶ τεῖχος τ. παρατάξεως τ. πολέμου* B′ (Arm. Val. Syr.: hic tamen etiam *forcipes ferreos* memorat) 2 *συμβουλῆι* A *καὶ δὴ κτλ.*: *κ. ἐσάλπισαν τὸ πολεμικὸν μέλος· ὁ δὲ Πῶρος ἐκέλευσεν ἀπολυθῆναι τοὺς θῆρας. τὰ οὖν θηρία τῇ ὁρμῇ ἐρχόμενα ἐπεπ.* B′ (Val. Syr.) 3 *ἐπεπήδουν* A exp. *τῇ προβοσκίδι* 4 *σώματα* A, corr. ex B′ Arm. post *αὐτῶν* add. B′ Arm. *καὶ οὐκέτι οὐδενὸς ἥπτοντο* (*redeuntes retro moriebantur* Leo) 5 *κατεθράσυνεν* A *κατέπαυσεν* B′ Arm. Byz. 9 *τῇ διστόμῳ λόγχῃ πληγεὶς* Arm. *τῇ γν. ὁ Μακεδὼν γενομένου τούτου* Arm. 10 *αὐτὸς μόνος* Arm. *ἀρθῆναι* A 12 *κε΄* A: *κ΄* B′ Byz. Leo Syr. *ζ΄* Arm. 13 *αὐτοὺς κατεβουλεύσαντο τῷ Πώρῳ προδιδόναι* Byz., cf. Arm. (B′): *τινὲς δὲ αὐτῶν φοβηθέντες ἐβουλήθησαν αὐ. προδ. Ἀλ., ὅτι μέλλει ὑπὸ τῶν ἰδίων προδίδοσθαι* Arm. (cf. B′) 15 *γενναιότητος* A; antitheton claudicat 16 *ἡμῶν ἀναπαυσαμένης τῆς στρατιᾶς* B′ Arm. 19 *οὐδὲ τριῶν* B′ Byz. Val. pergit B′: *ἔστησαν οὖν ἑκάτερα τὰ πλήθη ἐπὶ θεωρίαν Πώρου καὶ Ἀλ.* (cf. Arm.) 20 nempe *ἑκατέρωθεν τὰ πλ. διεκρίνοντο* 21 *ἐστράφη εἰς τὰ ὀπίσω* B′ Arm. 22 *κυλάνας* A *plicatis pedibus* Leo 23 *τῶν βουβώνων* A *eius inguina transfigit* Val. *εἰς τὰς λαγόνας* B′ post *Πῶρον* de admiratione Macedonum nonnulla add. Arm.

εἶπεν· ‛Τάλανες Ἰνδοί, τίνι πολεμεῖτε τοῦ βασιλέως ὑμῶν ἀναιρεθέντος;’
Οἱ δὲ εἶπον· ‛Ἵνα μὴ καὶ ἡμεῖς αἰχμαλωτισθῶμεν.’ ‛Ο δὲ εἶπεν· ‛Παύσασθε 6
πολεμοῦντες καὶ εἰσέρχεσθε εἰς τὴν ἑαυτῶν πόλιν· οὐ γὰρ ὑμεῖς πρὸς τὸ
στρατόπεδόν μου ἐπολεμήσατε, ἀλλὰ Πῶρος.’ Ταῦτα εἶπεν, ὅτι οὐκ ἀνη- 7
λόγει τὸ στράτευμα αὐτοῦ πρὸς τοὺς Ἰνδούς. κελεύσας δὲ θάπτεσθαι τὸν
Πῶρον βασιλικῶς καὶ τὰ τίμια πάντα βαστάξας τὴν ὁδοιπορίαν ἐποιεῖτο.
[Ὑπετάξατο δὲ ὁ Ἀλέξανδρος καὶ τοὺς λοιποὺς τόπους τῆς Ἰνδικῆς 8
βασιλείας, ἐχειρώσατο δὲ καὶ τοὺς ὑπὸ Πανσανίαν Ἰνδούς. ἰδὼν δὲ καὶ
Ἀόρνην καλουμένην ἔχουσαν τὸ ὕψος ε′ σταδίων, Ἀόρνην λεγομένην διὰ
τὸ μηδὲ ὀρνέοις ἐπιβατὴν εἶναι . . . ἐπὶ τὴν Ἀόρνην ταύτην καὶ ὁ Διόνυσος 9
στρατευσάμενος ἠδυνάτησεν ἑλεῖν, ὁμοίως δὲ καὶ Ἡρακλῆς διὰ τὸ ὕψος καὶ
διὰ τὴν ὀχυρότητα. εἷλεν δὲ ὁ Ἀλέξανδρος αὐτὴν τρόπῳ τοιῷδε. ἐκελεύσατο 10
κατασκευασθῆναι πασσάλους σιδηροῦς καὶ τούτους ἐμπαγῆναι εἰς τοὺς
κρημνούς, δι’ ὧν ἀναβαίνοντες οἱ Μακεδόνες † ὠχυρωμένοι τοῖς ὑπερμαχο-
μένοις Ἰνδοῖς ἴσχυσαν καταλαβέσθαι τὴν πέτραν. καὶ τὴν μὲν Ἀόρνην οὕτω
κατελάβετο. Ἐπεὶ δὲ ταῦτα ἐχειρώσατο, ἀκούων ἐν τοῖς ⟨τοῦ⟩ Ὑδάσπου 11
ποταμοῦ βασιλεύοντά τινα πρὸς ταῖς ἀνατολαῖς τοῦ ἡλίου, ἔχοντα [μὲν]
πολὺ πλῆθος στρατοῦ καὶ ἐλεφάντων, ἐβούλετο καὶ ἐπ’ ἐκείνους στρατεύειν.
προσκαλεσάμενος οὖν τοὺς Μακεδόνας παρακαλεῖ, ὅπως σὺν αὐτῷ καὶ ἐπὶ
τοῦτον στρατεύσωνται. ἦν δὲ ὁ Ἀλέξανδρος τολμηρότερος καὶ παραβολώ- 12
τερος. ἔνθεν ⟨δέ⟩ τις καταμάθῃ τὴν εὐτολμίαν μάλιστα αὐτοῦ, ἦν πόλις
τῆς Ἰνδικῆς, εἰς ἣν πολλοὶ πεφευγότες ἐκ τῶν ἄλλων πόλεων ἐληλύθεισαν
ὡς ἂν μεγίστην καὶ ὀχυρωτάτην. προσεβάλλετο οὖν ὁ Ἀλέξανδρος καὶ 13
ταύτην ἐπολέμει. ἐπειδὴ δὲ προσετέθησαν κλίμακες, ἐκλάσθησαν καὶ ἐκω-
λύθησαν οἱ Μακεδόνες ὑπερβῆναι εἰς τὴν πόλιν· μονὰς δὲ ἔμενεν ἡ τοῦ 14

---

1 *τί* C Arm. Leo 3 *πόλιν ἐλεύθεροι ὄντες* B′ (cf. Arm. Syr.) 7—104, 11 unus habet A aliunde illata 7 *τοὺς τῶν λοιπῶν* A 8 *πανσανίου* A; regis nomen esse puto (*Πορτικάνος* Diod. 17, 102, 5), nolui *Παροπάμισον* vel sim. *τοὺς Γλαυγανίκας* (al. *Γλαύσας*) ex Arr. 5, 20 Zacher 9 solitum *Ἄορνος*, rarius *Ἄορνις* (v. g. Itin. c. 50) nempe *καλ.* ⟨*πέτραν*⟩ *ε′ καὶ ἐχτάδιον* A; numerum non praesto: X vel XI vel XVI stadia dant scriptores 10 *μὴ* A supple fere *ἐπεθύμει ἐκπολιορκεῖν* *διόννσσος* A 11 *ἑλεῖν* Müll.: *ἐλλήνων* A *ὅμως τε* A de Hercule cf. e. g. Epit. Mett. (ed. Wagner N. Jahrb. Suppl. 26) 103, 30 12 *εἶδεν* A exp. *ἐκέλευσε*; de dolo cf. Epit. Mett. 99, 20 13 *ἐμπεσῆναι* A, corr. Müll. (*ἐμπαισθῆναι* Rad.) 14 *ἀντιβαίν.* aut *ἀνταναβ* Rad. displicet *οὐ χειρούμενοι ὑπομαχ.* A 16 *ἰάσπου ποῦ* A, an *τόποις*? Miseras reliquias has puto eorum, quae de itinere ad Hyphasim narrantur (Diod. 17, 94 etc.) 17 de tali rege cf. Diod. 17, 93, 2 18 exp. *ἐκεῖνον* 20 post *στρατευσ.* de exercitus seditione narrare debebat *παραβουλότερος* A 22 *πεφευγότων* A; de hoc refugio cf. Epit. 99, 12 *πολεμίων* A 23 *προεβάλλοντο· ὁ οὖν* A 24 *ἐπλήσθησαν* A, corr. Müll. cl. Curt. 9, 4, 33; voluitne *ἐπρήσθησαν* a cett. scriptoribus discrepans? 25 *μονᾶσαι* A *μόνη δὲ σώα* Müll.

Ἀλεξάνδρου. συνιδὼν δὲ ὁ Ἀλέξανδρος τὸ γενόμενον εἰσῆλθεν εἰς τὴν πόλιν
μετὰ δύο φίλων Πευκέστου καὶ Πτολεμαίου· οἱ δὲ ἐν τῇ πόλει θεωρήσαντες
ὥρμησαν πρὸς αὐτόν. ἐν [μὲν] τούτῳ ὁ μὲν Πευκέστης καὶ Πτολεμαῖος 15
παραστάντες αὐτῷ ἀπεμάχοντο, περὶ πλείονος ποιούμενοι τὴν τοῦ βασιλέως
σωτηρίαν τῆς ἰδίας. ὁ δὲ Ἀλέξανδρος γενναίως ἀγωνιζόμενος ἐτρώθη ὑπὸ
τὸν μαζόν· οἱ δὲ Μακεδόνες αἰσθόμενοι τὸ γεγονὸς καὶ ὑπερπηδήσαντες
τὰς πύλας ἀνέρρηξαν, εἰσδραμόντες δὲ εἰς τὴν πόλιν ἅπαντας ἀνῄρουν,
μὴ φειδόμενοι μήτε τῶν γυναικῶν μήτε τῶν νηπίων, ταύτην ὑπὲρ τοῦ
βασιλέως ποιούμενοι τὴν ἐκδίκησιν. οὕτως οὖν τῆς πόλεως παραληφθείσης 16
παρῄνουν τὸν Ἀλέξανδρον οἱ Μακεδόνες μὴ φιλονεικίαν δεινῶς ἔχειν μηδὲ
παραβολεύεσθαι.]

Μετὰ δὲ ταῦτα τὴν ὁδοιπορίαν πρὸς Ὀξυδράκας ἐποιεῖτο οὐχ ὡς 5
ὄντας πολεμιστάς, ἀλλ᾽ ὡς γυμνοσοφιστὰς εἰς καλύβας καὶ εἰς κατάγαια
καταμένοντας. οἱ δὲ γράφουσιν αὐτῷ ἐπιστολήν· ‛Βραχμᾶνες γυμνοσοφισταὶ 2
Ἀλεξάνδρῳ ἀνθρώπῳ ἐγράψαμεν. εἰ μὲν πρὸς ἡμᾶς παραγίνῃ πολεμήσων,
οὐδὲν ὀνήσῃ· τὶ γὰρ ⟨παρ᾽⟩ ἡμῶν βαστάσαι οὐκ ἔχεις. εἰ δὲ θέλεις ὅσα
ἔχομεν, οὐ δέεται ταῦτα ⟨τοῦ⟩ πολεμῆσαι· σοὶ γὰρ ἕπεται πολεμεῖν, ἡμῖν
δὲ φιλοσοφεῖν.᾽

Οὕτως ὁ Ἀλέξανδρος ἀναγνοὺς εἰρηνικῶς πρὸς αὐτοὺς πορεύεται καὶ 6
ὁρᾷ πάντας γυμνοπεριβόλους. ἐξετάζει οὖν· ‛Τάφους οὐκ ἔχετε;᾽ οἱ δὲ
εἶπον· ‛Τοῦτο τὸ χώρημα, ὅπου μένομεν, ἔστιν ἡμῶν . . .᾽ καὶ στραφεὶς 2
ἑτέρῳ εἶπε· ‛τίνες πλείονες, ἐκεῖνοι οἱ τελευτήσαντες ἢ οἱ ζῶντες;᾽ καὶ

1 cf. Epit. Mett. 108, 23. Sternbach Wien. Studien 16, 32 4 *τῆς τοῦ β. σωτηρίας τῆς Ἰνδίας* A, corr. Müll. 5 *ὑπὲρ* Müll. (cf. Mützell ad Curt. 844 b) 6 *τῶν μαζῶν* A 7 cf. Epit. Mett. 108, 29 10 *φιλ. δ. ἔ.* mire dictum nec sufficiet mutare *φιλονεικίᾳ* (*προσέχειν*?) 11 *παραβουλ.* A 12 *ταύτην τὴν ὁ.* A *ὀξυράκας* A 13 *καταέα καταμένοντες* A 14 *οἱ δὲ Βρ. μαθόντες παραγίνεσθαι πρὸς αὐτοὺς τὸν βασ. Ἀλ. τ. ἀρίστους αὐτῶν φιλοσόφους ἔπεμψαν πρὸς αὐτὸν μετὰ γραμμάτων* B′ (Arm. Val. Syr. Leo) *βραχμάναι* A prolixior epist. in Epit. Mett. 107, 32 16 *ὠνήσεις* A melius *τί . . . βαστάσῃς* (*οὐδὲ γὰρ ἔχεις τι* B′) add. ex B′ Arm. *ὅσα*: *εἰς ἃ* A 17 *ἔχομεν βαστάσαι* B′ *τολμῆσαι* A post *πολεμ.* aliqua add. cett. (*ἀλλ᾽ ἐλθὲ πρὸς ἡμᾶς διὰ φιλίας· τάχα μαθήσῃ, τίνες ἐσμέν* Arm.) 19 *εἰρηνικὸς* A 20 *γυμνῶι περιβόλους* A (Wilcken 176) plura de Brahmanum moribus B′ cett. (*γυμν. ὑπὸ καλύβας καὶ σπήλαια κατοικοῦντας, τὰ δὲ παιδία καὶ τὰς γυναῖκας μετὰ τῶν ποιμνίων ἐγκαταλειφθέντα* Arm. *et habitare in abditis tuguriis et speluncis. filii vero et uxores eorum separati erant ab illis cum animalibus* Leo) de hoc colloquio cf. Wilcken S. Ber. Berl. Akad. 1923, 160. Extat etiam apud Plut. Al. 64. Anecd. gr. 1, 145 Boiss. Pap. Berol. P. 13044. Epit. Mett. 21 supple *καὶ τάφος* et fort. cetera, quae dant B′ Arm. (Syr.) Val. (hic: *eoque consuefieri his diversoriis, ut dum quotidie dormiunt, desinant aliquando vigilare, exque eo sibi esse unam domum viventi pariter et mortuo*). Olim hoc de corpore et ab uno Brahmanum dictum; inde sing. in Arm. Val.

ἀπεκρίθησαν· ʽοἱ μὲν τελευτήσαντες πλείονες, ἀλλὰ μὴ μέτρει τοὺς μηκέτι
ὄντας· οἱ γὰρ ὁρώμενοι πλείονές εἰσι τῶν μηκέτι φαινομένων.ʼ καὶ ἑτέρου
ἐπύθειο· ʽτί ἰσχυρότερον, θάνατος ἢ ζωή;ʼ εἶπεν· ʽζωή, ὅτι ὁ ἥλιος ἀνα- 3
τέλλων ἰσχυροτέρας τὰς ἀκτῖνας ἔχει, ἑσπέρας δὲ δύνων ἀσθενέστερος 4
ὁρᾶται.ʼ εἶπε πάλιν· ʽτί πλεῖον, ἡ γῆ ἢ ἡ θάλασσα;ʼ εἶπεν· ʽἡ γῆ· καὶ
γὰρ αὐτὴ ἡ θάλασσα ἐπὶ τῆς γῆς ἵδρυται.ʼ ὁ δὲ εἶπε· ʽτί πάντων τῶν 5
θηρίων πανουργότερον;ʼ καὶ εἶπεν· ʽὁ ἄνθρωπος.ʼ . . . . ἑτέρῳ ἔφη· ʽτίνα 6
οὐ δυνάμεθα ψεύσασθαι, ἀλλὰ τὸν ἀληθινὸν λόγον αὐτῷ προσφέρομεν;ʼ —
ʽθεόν· οὐ γὰρ δυνάμεθα ψεύσασθαι τὸν πάντα εἰδότα.ʼ . .

Εἶπεν αὐτοῖς· ʽτί θέλετε ἐξαιτήσασθαί με;ʼ οἱ δὲ εἶπον· ʽἀθανασίαν.ʼ 7
ὁ δὲ Ἀλέξανδρος εἶπεν· ʽταύτην ἐγὼ οὐκ ἔχω τὴν ἐξουσίαν· καὶ γὰρ ἐγὼ
θνητὸς ὑπάρχω.ʼ οἱ δὲ εἶπον· ʽτί τοίνυν θνητὸς ὑπάρχων τοσαῦτα πολε-
μεῖς; ἵνα πάντα ἄρας που ἀπενέγκῃς; σὺ πάλιν αὐτὰ ἑτέροις καταλείψεις.ʼ
καὶ εἶπεν αὐτοῖς ὁ Ἀλέξανδρος· ʽταῦτα ἐκ τῆς ἄνωθεν προνοίας διοικοῦνται, 8
ἵνα ἡμεῖς [ὑμῖν] διάκονοι γενώμεθα τῆς ἐκείνων ἐπιταγῆς. οὐ γὰρ κινεῖται θάλασσα, εἰ μὴ πνεύσῃ ἄνεμος, οὐδὲ σαλεύεται δένδρα, εἰ μὴ ῥιπίζῃ

1 μέτρει Arm. (Val.): ζήτει A (cf. Wilcken 166) 2 cf. Wilcken 170 5 cf. Wilcken 166. Philostr. Vit. Ap. 3, 37, 4 εἶπον ἡ γῆ A 6 cf. Wilcken 167 7 πανουργότερον etiam Anecd.: πανουργότατον Pap. Epit. explicatio responsi et duo quaestiones exciderunt; Arm. sic: ʽκαὶ πῶς οὗτός ἐστιν;ʼ λέγει· ʽπαρὰ σεαυτοῦ πυθοῦ. ἰδοὺ γὰρ πόσα θηρία (*animantium* Val.) μετὰ σοῦ ἄγεις, ἵνα τὰ τῶν ἄλλων θηρίων, ὅσα ⟨ἔχουσιν⟩, ἀφαρπάσῃς.ʼ ὁ δὲ κοσμοκράτωρ οὐκ ὠργίσθη (ἀλλʼ ἐμειδίασεν add. B′) εἰδώς, τίνα ἐρωτᾷ. Ἕτερον δὲ ἐρωτᾷ· ʽτί ἐστι βασιλεύς;ʼ (βασιλεία B′ Val. Syr.) ὁ δὲ εἶπε· ʽπλεονεξία ἄπληστος, δύναμις ἄδικος, τόλμη προπετὴς τοῦ καιροῦ τυγχάνειν (καιροῦ συνεργοῦντος B′ Val. χρυσοῦ φορτίον add. B′).ʼ Ἑτέρῳ δὲ εἶπε· ʽτί πρότερόν ἐστιν, ἡ νὺξ ἢ ἡ ἡμέρα;ʼ ὁ δὲ λέγει· ʽἡ νύξʼ. ʽΠῶς ἐστι τοῦτο;ʼ ὁ δὲ λέγει· ʽτὸ γὰρ γεννώμενον ἐν τῷ σκότῳ ἐν τῇ γαστρὶ αὔξάνεται, εἶτα φανερὸν γίγνεται ⟨καὶ⟩ ἐξέρχεται λαμβάνειν τὸ φῶς.ʼ 9 quattuor quaestiones add. Arm., duas priores etiam Val. (Syr.) — Arm. sic: ἑτέρῳ δὲ εἶπε· ʽποῖα μέρη τοῦ κλίματος κρείττονα, τὰ εὐώνυμα ἢ τὰ δεξιά;ʼ εἶπε· ʽτὰ εὐώνυμαʼ. ὁ δʼ εἶπε· ʽπῶς;ʼ ὁ δὲ λέγει· ʽπρῶτον γὰρ ὁ ἥλιος ἀναβαίνει ἀπὸ τοῦ εὐωνύμου μέρους εἰς τὸ δεξιόν· καὶ ὁμιλίαν ποιούμεθα πρὸς τὰς γυναῖκας ἀπὸ τοῦ εὐωνύμου μέρους· θηλάζει δὲ γυνὴ πρῶτον διδοῦσα τῷ παιδὶ τὸν εὐώνυμον μαστόν· τοὺς δὲ θεοὺς φέρομεν ἐπὶ τῶν εὐωνύμων ὤμων βαστάζοντες· ὑμεῖς δὲ αὐτοὶ οἱ βασιλεῖς τὸ τῆς ἀρχῆς σκῆπτρον ἐν τῇ εὐωνύμῳ χειρὶ ἔχετε.ʼ λέγει ἑτέρῳ· ʽπᾶν τὸ γένος τῶν ἀνθρώπων τίς νικᾷ;ʼ (alibi πότερον ἰσχυρότερόν ἐστιν θάνατος ἢ ζωή; cf. Wilcken 170) εἶπεν· ʽὁ θάνατος· καὶ γὰρ βίαιός ἐστι καὶ σκληρὸς πρὸς πάντας.ʼ λέγει Ἀλ.· ʽὁ θεὸς πρὸς τί ὀργίζεται;ʼ εἶπεν· ʽἐπὶ τῇ τῶν πλουσίων ἀδικίᾳ καὶ τῇ τῶν πενήτων ὑπερηφανίᾳ.ʼ λέγει· ʽτῶν κτιστῶν τί ἐστι γλυκύτατον; ἀπόκρισις· ʽἡ ἐκ καρδίας ἀγάπη.ʼ ʽτί δὲ πικρότατον;ʼ ἀπόκρισις· ʽφθόνος καὶ μῖσος.ʼ 12 θνητός: cf. Epit. Mett. 73 13 πάντας B′ (τὰ πάντων Arm.): ταῦτα A possis ποῦ σὺ A: οὐ B′ Arm. 14 ταῦτα οὐχ ὑφʼ ἡμῶν, ἀλλὰ Arm. 15 ὑμῖν om. B′ Arm. 16 ῥιπίζ^{η}εται A, corr. ex B′

πνεῦμα, οὐκ ἐνεργεῖται ἄνθρωπος εἰ μὴ ἐκ τῆς ἄνωθεν προνοίας. κἀγὼ 9
δὲ παύσασθαι θέλω τοῦ πολεμεῖν, ἀλλ' οὐκ ἐᾷ με ὁ τῆς γνώμης μου
δεσπότης. εἰ γὰρ πάντες ὁμογνώμονες ἦμεν, ἀργὸς ἐτύγχανεν ὁ κόσμος,
θάλασσα οὐκ ἐπλέετο, γῆ οὐκ ἐγεωργεῖτο, γάμοι οὐκ ἐπετελοῦντο, παιδο-
ποιίαι οὐκ ἦσαν. πόσοι γὰρ ἐν τοῖς ὑπ' ἐμοῦ γενομένοις πολέμοις ἐδυστύ- 10
χησαν ἀπολέσαντες τὰ ἴδια, ἄλλοι δὲ ηὐτύχησαν ἐκ τῶν ἀλλοτρίων; πάντες
γὰρ τὰ πάντων λαμβάνοντες ἑτέροις παραχωροῦμεν καὶ οὐδενὶ οὐδὲν ὑπάρχει.'
Οὕτως εἰπὼν ὁ Ἀλέξανδρος ἀπεχώρει . . .

Καὶ γράφει ἐπιστολὴν Ἀριστοτέλῃ περὶ τῶν ἐνεστώτων αὐτῷ πραγ- 17
μάτων.

[Ἐπιστολὴ Ἀλεξάνδρου Ἀριστοτέλῃ.]

Βασιλεὺς Ἀλέξανδρος Ἀριστοτέλῃ χαίρειν. τὸ συμβεβηκὸς ἡμῖν παρά- 2
δοξον ἐπὶ τῆς Ἰνδικῆς χώρας ἀναγκαῖον ἐξειπεῖν. παραγενομένων γὰρ
ἡμῶν εἰς τὴν Πρασιακὴν πόλιν, ἥτις ἐδόκει μητρόπολις εἶναι τῆς Ἰνδικῆς
χώρας, κατελάβομεν παρ' αὐτὴν ἐναργὲς ἀκρωτήριον τῆς θαλάσσης. καὶ 3
ὁρμήσαντός μου σὺν ὀλίγοις ἐπὶ τὸ προειρημένον [καὶ] καταμαθόντες
εὕρομεν νεμομένους ἐκεῖ θηλυμόρφους ἰχθυοφάγους ἀνθρώπους. ἐμοῦ δὲ
προσκαλεσαμένου τινὰς εὗρον βαρβάρους τῇ διαλέκτῳ, καὶ πυνθανομένου
μου περὶ τῶν τόπων ἐσήμαναν ἡμῖν νῆσον, ἣν πάντες ἑωρῶμεν ἐν μέσῳ
πελάγει, ἣν ἔφησαν πάνυ ἀρχαίου βασιλέως εἶναι τάφον, ἐν ᾧ χρυσὸν

1 *ἐνεργεῖ* Arm. Syr. *προν. τὸ θέλημα λάβῃ* Arm. 6 *ἀλλ. πλουτισθέντες* Arm. Syr. 7 post *ὑπάρχει* B′ narrat de donis Dandami oblatis, deinde transilit ad. p. 111, 7 (cf. ad v. 9. 15) 8 add. Arm. *ἐπορεύθη πολλοὺς πόνους πονῶν ἐν τῇ ὁδῷ διὰ ἀβάτων καὶ διὰ ἀτριβῶν τόπων ὁδεύων, καὶ οὐκ ἐν ὀλίγαις μερίμναις ἦν.* Val.: *iter prorsus exsequitur arduum quidem illud et laboriosissimum inviis locis asperitate naturae et colentium vastitate* (cf. Leo Syr.). — In A hic inseritur Palladii de India et Brahmanibus libellus (= c. 7—16 Müll.), sine inscriptione et subscr. (*ἡ πολλὴ φιλοπονία σου — οἰκτείρονται πᾶσαν ἀνθρώπου φύσιν:* —) 9 *πραγμάτων:* — ε̄: — A Epist. haec in B′ (qui om. initium ad p. 111, 7) partem narrationis efficit (cf. ad v. 15); in multis congruit cum longiore epistula ex graeco in latinum conversa, quam ed. Kübler Iul. Val. p. 190; Rom. Forsch. VI 224. Pfister Kl. Texte zum Alex. Roman p. 21. Cf. H. Becker Progr. Königsb. Friedrichskoll. 1892. 1894. 1906 12 *ἀριστοτελίδῃ* A *τῷ διδασκάλῳ μου* add. Arm. Syr. (Val.) exp. *τὰ συμβεβηκότα ἢ. παράδοξα* (cf. p. 107, 16), cf. Leo 13 post *ἐξειπεῖν* add. Val.: *nam cetera tibi ad Bragmanas usque praemiseram. his denique penetratis Prasiacae supervenimus* (cf. Epist. 191, 25. 192, 7) 15 post *χώρας* ita pergit B′: *ἔνθα Πῶρος ἦν βασιλεύς, πάντες οἱ τοῦ Πώρου προσεδέξαντο τὸν Ἀλ., κ. πάντα κατὰ φύσιν διοικ.* (= 111, 7) *κατ. γὰρ τὴν ἐνεργὲς* A *situs eius loci arduus et ad promunturii faciem longe porrectior; nam et mari imminet subiacenti* Val. 16 *καὶ* del. Müll., sed plura turbata; post *καταμ.* lac. esse vid. 17 *θηλευμόρφους* A *hique sunt promisce mares atque aliud secus* Val., infra addens *nam et vetus sermo eos molles Sabaeos appellat* 19 *τὸν τόπον* A *ὁρῶμεν* A 20 *ἔφησεν* A *χρ. προϊρῶσθαι* A, corr. ex Arm. Val. Syr.

πολὺν ἱερῶσθαι . . . οἱ βάρβαροι ἀφανεῖς ἦσαν τὰ ἴδια πλοιαρίδια κατα- 4
λιπόντες, ἅπερ ἦν ιβ'. καὶ δὴ Φείδωνος τοῦ γνησιωτάτου μου φίλου καὶ
Ἡφαιστίωνος καὶ Κρατεροῦ καὶ τῶν λοιπῶν φίλων μὴ ἐασάντων με δια-
βῆναι — Φείδων γὰρ ἔλεγεν· ‘Ἐπίτρεψόν με πρὸ σοῦ καταπλεῦσαι, ἵνα 5
εἰ κακόν τί ἐστι, πρὸ σοῦ ἐγὼ κινδυνεύσω· εἰ δὲ μή, ἐγὼ ὕστερον ἐπι-
πέμψω τὸ σκάφος. εἰ γὰρ δὴ Φείδων ἐγὼ ἀπόλωμαι, ἕτεροί σοι φίλοι
εὑρεθήσονται· ἐὰν δὲ σὺ Ἀλέξανδρος, ὅλη ἡ οἰκουμένη ἐδυστύχησεν’ —
πεισθεὶς [δὲ] αὐτοῖς συνεχώρησα διαβαίνειν. καὶ ἐκβάντων αὐτῶν ἐπὶ τὴν 6
νομιζομένην νῆσον ὥρας διελθούσης ἄφνω ἔδυνε ⟨τὸ⟩ θηρίον εἰς τὸν βυθόν.
ἡμῶν δὲ κραξάντων καὶ ἀφανοῦς γενομένου τοῦ θηρίου οἱ μὲν κακῶς 7
ἀπώλοντο σὺν τῷ γνησιωτάτῳ φίλῳ· καὶ λίαν ἠχθόμην, τοὺς δὲ βαρβάρους
ζητήσας οὐχ εὗρον.

Ἐμείναμεν δὲ ἡμέρας η' ἐπὶ τοῦ ἀκρωτηρίου καὶ εἴδομεν ἑβδομαῖον 8
τὸ θηρίον, ἐλέφαντας ἐπ' αὐτῷ ἔχον. ποιησάντων δὲ ἡμῶν ἱκανὰς ἡμέρας
ἀνεχωρήσαμεν εἰς τὴν Πρασιακὴν πόλιν.

. . † τὰ δὲ πλεῖστα καὶ παραδοξότατα θεωρήσας, ἅπερ ἦν ἀναγκαῖον 9
δηλῶσαί σοι. εἶδον γὰρ θῆρας ποικίλους καὶ τόπους † φυσικῶν θεωρίαν
ἑρπετῶν τε γένη· τὸ δὲ πάντων θαυμαστότατον, ἡλίου καὶ σελήνης
ἔκλειψιν . . χειμών τε πικρός. νικήσαντες γὰρ Δαρεῖον τὸν τῶν Περσῶν 10
βασιλέα καὶ τοὺς αὐτοῦ [καὶ] ὑποτάξαντες τὴν χώραν ὅλην ἐπορευόμεθα
ὁρῶντες τὰ ἀγαθά. ἦν γὰρ χρυσὸς καὶ κρατῆρες ⟨λίθοις⟩ κεκοσμημένοι,

---

1 add. Arm. (cf. Val. Syr.) *κἀγὼ προθυμότερος ἐγενόμην εἰς τὴν νῆσον διαβαίνειν, ἀλλὰ δεινῶς ἀντετάξαντο ἡμῖν οἱ βάρβ. καὶ ἀποχωρήσαντες ἀφ' ἡμῶν* etc. 2 *Philon* amici nomen in Val. Syr. 3 *καρτεροῦ* A 4 *γὰρ* del. Müll. servans *δὲ* v. 8 *καὶ μάλιστα τοῦ συμμαθητοῦ μου Φείδωνος λέγοντος* Arm. 5 *ὕστ.* ⟨*σοι*⟩ Müll. 6 *φείδω* A *σου* A 7 *δὲ σοὶ* A 8 *αὐτὸς συνεχώρησεν* A *αὐτῷ* Arm. post *διαβ.* add. Arm.: *πρότερον ἐκείνοις τοῖς ιβ' σκάφεσιν, εἰς ἃ εἰσῆλθον ἄνδρες ἑκατόν. καὶ οὗτοι ἐπεὶ ῥᾳδίως ἔπλευσαν καὶ ἐπλησίασαν τῇ νήσῳ — καὶ οἱ κακόφρονες βάρβαροι ‘νῆσός ἐστιν’ ἔλεγον, καὶ κῆτος ἦν.* Syr.: *und als sie in die Schiffe gestiegen und nahe an die Insel herangekommen waren, da war es ein Tier und nicht eine Insel.* 10 *δραξάντων* A, corr. ex Arm. 13 *τὸ ἀκρωτήριον· καὶ δάμεν* (ε ex ι) *εὐδόμενον τὸ* A *τῇ ἑβδόμῃ ἡμέρᾳ* Arm. *quam ebdomadarion* (P, *ebdomarion* A) *vocant* Val. 14 *ἔχον· καὶ κατήπειγον ἡμᾶς πολλοὶ τῶν μέγαλων* Arm. *ἱκανῶν ἡμερῶν* A *ὁδοποιήσαντες δὲ ἡμεῖς* Müll. (at *ποιεῖν* = manere) 16 Haec olim initium faciebant; cf. Epist. 191, 25. 192, 3. Cf. p. 106, 12; manca sententia etiam Arm. *παράδοξα* A (an del. *καί?*) *ἀναγκαῖα δηλώσω* Müll. (Syr.) 17 *ἀτόπους* Rad. *φυσικῆς θεωρίας* Müll. *ἀξίους* add. Ausf. (nolui *τόπων φυσικὴν* cum Arm.). *τρόπους* l. Val. *staunenswerte Erscheinungen und Wunder* Syr. 19 *λείψιν* A *et causam hiemis et temporum differentias* (*-tiae?*) Val. *χειμὼν πικρός* om. Arm. *wie man es im Winter sieht* Syr. Denuo Aristotelem adloquitur in Arm. (*ὧν περὶ ἑκάστου, ὁδηγὲ* ⟨*καὶ*⟩ *διδάσκαλε σεμνέ, ἀναγκαῖον ἀναγγέλλειν σοι*) Val. Syr. 20 *περιεπορ.* Arm. Syr. *πορευόμ.* l. Val. 21 add. ex Arm. (*λ. ποικίλοις τιμιωτάτοις*) Syr. (*mit vielartigen Edelsteinen*)

ὧν ἐχώρει ἕκαστος κρατὴρ † ἕνα ἥμισυ, ἄλλος δὲ ὀκτώ, καὶ ἕτερα πλεῖστα
θεάματα.
Ἀρχὴν δὲ ποιησάμενοι τῆς πορείας ἀπὸ ⟨πυλῶν⟩ Κασπιακῶν ὡδεύ- 11
σαμεν. ἅμα δὲ γενέσθαι ὥραν ι' ἐσάλπιζεν ἐπὶ τὸ δεῖπνον . . . καὶ κοι-
μᾶσθαι ἐπὶ κοίτης· ἅμα δὲ τοῦ ἡλίου ἀνατέλλοντος ἡ σάλπιγξ ἐσήμανεν
. . . ἕως ὥρας δ'· ὑπουργίας [δὲ] τοσαύτης οὔσης περὶ τοὺς στρατιώτας, 12
ὥστε τὸν ἕνα ἕκαστον κεκοσμῆσθαι ὑποδέσεσι καὶ κνημῖσι καὶ περιμήροις
[καὶ] δερματίνοις καὶ θώραξι τὰ σώματα αὐτῶν ⟨περιβάλλεσθαι⟩· προει-
ρήκασι γὰρ οἱ ἐντόπιοι τὴν τῶν ἑρπετῶν ἐν ταῖς ὁδοῖς διαφθοράν, καὶ
κατεκήρυξα μηδένα ἄνευ ταύτης τῆς διασκευῆς εἶναι.
Ὁδευσάντων δὲ ἡμῶν ὁδὸν ἡμερῶν ιβ' ἤλθομεν εἴς τινα πόλιν, ἥτις 13
ἦν μέση τοῦ ποταμοῦ. ὑπῆρχον δὲ ἐν τῇ πόλει κάλαμοι πηχῶν λ' . . . περί-
μετρον ἔχοντες, ἀφ' ὧν καὶ ἡ πόλις ἐστεγασμένη ἦν. οὐκ ἔκειτο δὲ εἰς
τὸ ἔδαφος, ἀλλ' ἐπάνω τῶν προειρημένων καλάμων. ἐκεῖ οὖν τὴν παρεμ- 14
βολὴν ἐκέλευσα παγῆναι. παραγενάμενοι δὲ ἐν ἐκείνῳ τῷ τόπῳ ὥρᾳ τρίτῃ
τῆς ἡμέρας καὶ προσελθόντες τῷ ποταμῷ ηὕραμεν τὸ ὕδωρ πικρότερον
ἐλλεβόρου. θέλοντες οὖν διακολυμβῆσαι εἰς τὴν πόλιν ἀνῆλθον ἱπποπόταμοι

---

1 ὡς χωρεῖν A ἐχ. ἕκ. κρ. κύλικας ἐνενήκοντα (om. ἄλλος δὲ ὀκτώ) Arm. *manche hielten 90 Eimer u. manche 50* Syr. ἑκατὸν κρατῆρα ἕνα ἡμίνας, ἄλλον ὀγδοήκοντα Ausf. In κρατήρ κοτύλας vel ἑκτέας latere potest 3 add. ex Arm. Val. Syr. Cf. Epist. 193, 19 post ὡδ. Val. add.: *hic circuitus . . . laboris habuit vices eius modi* 4 ἐσάλπιζον ἐπὶ τὸν A haec in omnibus turbata (et quis spondet in A' unquam sana fuisse?); optime Val. (post cenam iter trium horarum noct., tum somnus sex horarum, deinde iter usque ad IV. diei horam). Arm.: post cenam iter V hor. usque ad III. horam noct., tum VI horarum somnus, καὶ ἅμα τῷ ἡλίῳ ἀνατ. αἱ σάλπ. ἐσήμαναν (καὶ ὡδεύσαμεν add. Raabe) ἕως δ' ὥρας. Syr.: cena ab h. X. usque ad h. III. noct., iter per totam noctem, sole oriente *befahl ich die Hörner zu blasen, damit die ganze Phalanx bis zur 3. Tagesstunde das Lager aufschlage.* Possis igitur ⟨μεθ' ὃ ἐπορευόμεθα ὥρας ε'· ἔπειτα δὲ ἔδει ϛ' ὥρας⟩ κοιμ. 6 καὶ ὡδεύσαμεν add. Raabe 7 possis ὥστε αὐτῶν ὑπόδεσι καὶ κνήμεσιν A. Cf. Epist. 196, 22 8 del. Müll. add. ex Arm. Val. περι-ηιρήκασι A 9 aptius ⟨ὑπὸ⟩ τῶν τοῖς ἰδίοις διαφοράν A, corr. ex Arm. Cf. Epist. 193, 23 10 κατεκήρυξαν A, corr. ex Arm. 11 ὁδὸν: ἀλόγων A *inenarrabiles vias* Arm. *wir wanderten auf solchem wunderbaren Wege 12 Tagereisen* Syr. ἄλλην ὁδὸν ego olim 12 post ποτ. add. Arm.: καὶ εἰς ἀμμώδη τινὰ τόπον περὶ τὸν ποταμόν, ἐν ᾧ ἐβουλόμεθα τὴν παρεμβολὴν πηγνύναι ὑπῆρχεν A καλαμοίχων δ' A λ' Arm. Syr. Val. *Rohr, das 30 Ellen lang war und so dick wie ein Kranz* Syr. (cf. Val. *crassitudo supra eam, quanta est hominis crassitudo*) *pedum sexagenum arundo* Epist. 195, 20 14 post καλ. add. Arm. καὶ πλοιάρια ἦν ἐν τῷ ποταμῷ, ἃ ἐρευνῶντες εἴδομεν ἐκ πινάκων τῶν καλάμων τούτων κατεσκευασμένα πρὸς φυλακήν (sim. Val. Syr.) 15 πηγῆναι A 17 post ἐλλ. add. Val.: *quaerentibus . . ex adcolis . . aliud castrum eminus demonstratur ab stadiis ferme quattuor indidem situm.* Leo: *incircu itu ipsius civitatis erat fluvius quasi stadia quattuor* post θέλ. add. οἱ ἡμέτεροι Arm.

καὶ ἥρπασαν τοὺς ἄνδρας. ἀπελείπετο οὖν ἡμῖν ἐκ παντὸς τρόπου 15
ἀναχωρεῖν ἐκ τοῦ τόπου. καὶ σαλπίσαντες . . . ἀπὸ ὥρας ς' ἕως ὥρας ια'
τῷ ὕδατι ἦμεν ἐμπεποδισμένοι ἐπὶ τοσοῦτον, ὡς ἔβλεπον στρατιώτας τοῖς
ἰδίοις οὔροις προσχρωμένους. ἤλθομεν δὲ κατὰ τύχην εἴς τινα τόπον, οὗ 16
ἦν λίμνη πάμφορος ὕλην ἔχουσα, ἐφ' ἣν συνελθόντες ἐτύχομεν γλυκέος
ὕδατος, ὥστε δοκεῖν μέλιτος διαφέρειν.
Λίαν οὖν περιχαρεῖς γενόμενοι εἴδομεν ἐπὶ τοῦ ἀκρωτηρίου στήλην 17
ψηφίνην· ἦν δὲ ἐγγεγραμμένα ἐν αὐτῇ ταῦτα· 'Σεσόγχωσις κοσμοκράτωρ
ὕδρευμα ἐποίησα τοῖς τὴν ἐρυθρὰν θάλασσαν πλωϊζομένοις.'
Ἐπέταξα οὖν παρεμβολὴν γενέσθαι καὶ τὰ πρὸς τὴν κοίτην ἀρτίζεσθαι 18
καὶ πῦρ ἀνάπτειν. ἅμα δὲ τὴν σελήνην λαμπρὰν καὶ μετέωρον γενέσθαι
περὶ ὥραν τρίτην τῆς νυκτὸς συνῆλθον [οὖν] τὰ θηρία ὅλης τῆς ὕλης ἐπὶ
τὴν προκειμένην λίμνην πρὸς τὸν ποτισμόν. ἦσαν δὲ σκορπίοι πηχυαῖοι, 19
ἀμμοδύται, οἱ μὲν λευκοὶ οἱ δὲ πυρροί . . . ἀγῶνος δὲ ἦμεν οὐ τοῦ τυχόντος·
καὶ ἤδη τινῶν ἀπολωλότων καὶ † παίδων προχείρως κλαυθμῶν καὶ ὀλο-
λυγμῶν γινομένων οὐ τῶν τυχόντων ἄρχεται θηρία τετράποδα παραγενέσθαι
ἐπὶ τὸν πότον, ἐν οἷς ἦσαν λέοντες μείζονες τῶν παρ' ἡμῖν ταύρων καὶ
ῥινοκέρωτες· καὶ πάντα ἐκ τῆς ὕλης τῶν καλάμων ἐξήρχοντο. σύαγροι δὲ 20
μείζονες τῶν λεόντων — οἱ οὖν ὀδόντες αὐτῶν ἦσαν πηχυαῖοι — λύγγες
τε καὶ παρδάλεις καὶ τίγρεις καὶ σκορπίουροι καὶ ἐλέφαντες καὶ βούκριοι
καὶ ταυρελέφαντες, ἄνδρες τε ἑξάχειρες καὶ ἱμαντόποδες καὶ κυνοπέρδικες
ἄλλα τε ζῷα θηριόμορφα. ὁ δὲ ἀγὼν ἀναβολὴν οὐκ ἔσχε· σιδήρῳ ⟨δὲ⟩ 21

1 viros XXXVI perisse dicit Syr., XXXVII Leo, CC Epist. 197, 15   ἡμεῖς A   2 ἀναχωρῶν A   tubicinium etiam Epist. 198, 4   lac. etiam in Syr. ἀνεχωρήσαμεν add. Arm. *classico signum abitioni praecipio* Val. *cum . . iter fecissemus* Epist. 198, 6   3 ὡς: δὲ A ὥστε βλέπειν με Müll. Cf. Epist. 196, 18   4 δὲ διὰ ἕλους καὶ ἀπείρου (*ineffabilis*) ὕδατος Arm.   5 μάμφορος A, πάμφορον Arm. debebat ὕλη π. λίμνην; *stagnum dapsile* Val. *an einen See herankamen und Wassertiere von allen Arten und wilde Tiere darin fanden* Syr. *stagnum quod erat circumdatum vetustissima abundantique silva* Epist. 198, 21   ἐτύχαμεν γλυκέου A   6 διαφέρει A   7 hic de Sesonchosi locus non ex Epist. sumptus   οἴδαμεν A   8 ψηφίνην om. Syr. Arm., *titulo gemmeo* Val.   9 ἥδροισμα A ἵδρυμα Arm.   10 ἀρτ. καὶ ἐσαλπίσαμεν τὸ δεῖπνον ποιεῖν Arm. (cf. Epist. 199, 8. 11)   11 ἀνάπτων A   μεθέωρον A   12 τρίτην = Epist. 200, 1   13 λίμνην ex αιλην(?) A   ποτ. ex ποταμὸν A   cf. de hoc catalogo Becker Pr. 1894, 8   πηχαῖοι ἀμοδῖται A   14 *nec non cerastae coloribus diversis* add. Val. (cf. Syr. Ep. 199, 19)   15 π. π. κλαυθμοὺς cum lac. Arm. πάντῃ Müll. ἔμπεδον Rad., possis ἐπαλλήλων (*fletibus undique consonantibus* Val.)   16 θηρίον τετράποδον A   17 τόπον A, corr. ex Arm. Val. (Epist. 199, 15. 200, 4)   18 καὶ πάντα A: μέγιστοι Arm. *noch gewaltiger als Elefanten* Syr.   19 πηχαῖοι· γλίγγαισ A   20 δὲ A   21 δὲ A   ἑξάχ. cf. c. 28, unde huc inlati sunt. *similiter et feminae eorum* add. Leo   κυλιοπέρδικες A, corr. ex Arm. Val. *Hundszähnige* Syr. Κυνοκέρκιδες Ausf.   22 θηρ. A Arm.: θηλύμορφα Syr. *multaque formarum humanarum* (*inh.?*) *genera invisitata* Val. σιδήρῳ Arm. (cf. Val. 129, 1): οἱ δὲ ἥρως A

ἠμυνάμεθα τὰ τοιαῦτα ..... νυκτάλωπες δὲ ἐκ τῆς ἄμμου ἀνεπήδων
πηχῶν ι΄, ἄλλοι δὲ πηχῶν η΄, κροκόδειλοί τε ἐκ τῆς ὕλης, οἵτινες τὰ σκευ-
ηφόρα ἀπώλλυον. νυκτερίδες δὲ ἦσαν περιστερῶν μείζονες ... ὀδόντας 22
ἔχουσαι· νυκτικόρακες δὲ παρὰ τὴν λίμνην ἐκάθηντο, οὓς ἐθηρεύσαμεν ἡμεῖς
καὶ μέγα ὄψον εἴχομεν ...
Ταῦτα δὲ πάντα διοικονομήσαντες ἤλθομεν εἰς τὴν κατὰ φύσιν ὁδὸν τὴν 23
φέρουσαν εἰς τὴν Πρασιακὴν γῆν. καὶ ἑτοίμως μου ἔχοντος ἀναζεῦξαι περὶ ἕκτην

---

1 multa om. A, in his odontotyrannum ab ipso c. 10 memoratum (ad p. 106, 8). In Arm. haec: *καὶ τὴν ὕλην πυρὶ κατεκαύσαμεν· καὶ τὰ ἑρπετὰ εἰς τὸ πῦρ ἔδραμε, τινὰ δὲ ποσὶ κατεπατοῦμεν καὶ τοῖς ξίφεσι διεφθείραμεν. καὶ περισσότερα* (an *πλείονα δὲ*?) *κατεκαίετο, ἕως ἡ σελήνη εἰς τὴν ἕκτην ὥραν τῆς νυκτὸς εἰσῆλθε. καὶ τοιοῦτο ἐγερσίφοβον καὶ ἰσχυρὸν δεῖμα παθόντες ἐμείναμεν θαυμάσαντες τὰς διαφόρους μορφὰς αὐτῶν. καὶ ἰδοὺ ἐξαίφνης παρεγένετο θηρίον μεῖζον πάντων τῶν ἐλεφάντων, οὗ ὄνομα ἦν ὀδοντοτύραννος, ὃ ἐπεθύμει ὁρμᾶν ἐφ᾽ ἡμᾶς. ἐγὼ δὲ ὧδε καὶ ἐκεῖσε περιέδραμον καὶ παρεκάλουν τοὺς γενναίους ἑταίρους μου πυρὰς ἀνάπτειν καὶ φυλάττειν, ἵνα μὴ κακῶς ἀπολώμεθα· καὶ τὸ θηρίον λίαν ἐπιθυμῆσαν βλάπτειν τοὺς ἀνθρώπους ἐπήδησεν εἰς τὰς πυρὰς καὶ ἐκεῖθεν εἰς τὴν παρεμβολὴν εἰσελθὸν ἀπώλεσεν ἐκείνῃ τῇ ὥρᾳ ἄνδρας κς΄* (XXXVI Epist.). *ἄλλοι δὲ ἄνδρες γενναῖοι ἐξ ἡμῶν πατάξαντες διέφθειραν τὸ θηρίον τὸ μονόκερων* (*adhuc tamen saucius odont. cum indidem fugiens aquae fluenta inrupisset ibique exanimavisset* Val.), *καὶ μόλις ἄνδρες χίλιοι* (om. Val. Syr.) *τριακόσιοι ἠδύναντο ἐξέλκειν αὐτὸ ἐκ τοῦ τόπου* (scr. *ποταμοῦ* ex Val. Syr). *ἅμα δὲ τὴν σελήνην δύεσθαι νυκτ.*   *νυκτάλωπες* A: *νυκταλώπεκες* Arm. Val. *Nachtfüchse* Syr. *vulpes* Leo (*mures Indici vulpibus similes* Epist. 201, 16) *μυρμηκαλώπεκες* Ausf. cl. Strab. 706   2 *πηχ. ι΄* A Val.: *πενταπήχεις* Arm. *sechs Ellen* Syr.   post *η΄* add. *καί τινες αὐτῶν ἀπώλεσαν πολλοὺς τῶν ἡμετέρων* Arm. (cf. Val.)   *καρκίνοι* Arm.   *δὲ* A   *ἐκ τῆς λίμνης* Arm. *ex iisdem arenis* Val. *ex arundineto* Leo   3 *ἴσους τοῖς ἀνθρώποις* add. Arm. *dentes eorum ut dentes hominis; mordentes homines, tollentes illis nares et aures atque digitos manuum* Leo, sim. Syr. Val.   4 *rhinocoraces* Val.   5 *μέγαν* A   add. Arm. (cett.): *ἐπ᾽ ἀνθρώπους οὐχ ὥρμων οὐδὲ τῷ πυρὶ πλησιάζειν ἐτόλμων· ἐπεὶ δὲ ἡμέρα ἐγένετο, οὗτοι πάντες ἀπεχώρησαν. καὶ τότε τοὺς τῶν τόπων ὁδηγούς, οὓς εἴχομεν πεντήκοντα, οἳ εἰς ταῦτα τὰ κακὰ ἡμᾶς εἰσήγαγον, ἐκεῖ ἐκέλευσα ἀποκτείνεσθαι, πρὸς τὸν ποταμὸν βασταχθέντας εἰσβάλλεσθαι. ταῦτα δὲ συναθροίσαντες ἀνεχωρήσαμεν σχοίνους δώδεκα· καὶ ἐλθόντες κατὰ τὴν ἔρημον ἐπετύχομεν καὶ ἐγενόμεθα κατὰ τὴν φυσικὴν ὁδὸν κτλ.* (cf. ad v. 6). Cf. Epist. 197, 22. 202, 2.   6 hinc rursus inc. B′: *καὶ τούτου γενομένου ὑπεχώρησεν ἀπ᾽ αὐτῶν ὁ Ἀλ. καὶ ὑποστρέψας εἰς τ. κ. φ. ὁ.*   *tandem restituimur viae* Val. (cf. p. 106, 13) *wir kehrten um auf den Weg* Syr.   *φυσικὴν* Arm.: *Φασιακὴν* latere puto cl. Epist. 192, 9   7 decurtat haec B′ sic: *Πρασ. πόλιν, ἥτις — χώρας* (= p. 106, 15), *ἔνθα Πῶρος ἦν βασιλεύς, καὶ πάντες οἱ τοῦ Π. προσεδέξαντο τὸν Ἀλ. καὶ πάντα κατὰ φύσιν κτλ.* (= p. 111, 7). *Phasiacen* Epist. 207, 14   *ibidem dies V transegimus, enimvero cum sexta iam reditui consuleremus* Val. *πορευθέντες ἡμέρας τινὰς ἤλθομεν εἰς πόλισμα ἐλάχιστον, καὶ ἠθέλησα ἀναπαύειν τοὺς ἀριστέας μου ἡμέρας ε΄· τῇ δὲ ς΄ ἡμέρᾳ πάντα ταῦτα οὕτω κατοικονομήσαντες* (cf. v. 6) *ἡτοιμάσαμεν ἤδη ἀναστρέφεσθαι. περὶ τὴν ς΄ ὥραν κτλ.* Arm.   *ἕκτην ὥραν* testantur etiam Arm. Syr.

ὥραν γίνεται περὶ τὸν ἀέρα τοιαύτη θεωρία μηνὶ Δίῳ ἡμέρᾳ τρίτῃ· πρῶ-
τον μὲν ἐξαίφνης πνοή, ὥστε τὰ σκηνώματα καταρριφῆναι καὶ ἡμᾶς ἑστῶτας
εἰς τὸ ἔδαφος καταπεσεῖν . . .
Μετὰ δὲ ἡμέρας λ' τῆς ὁδοῦ εὐβάτου γενομένης ἀνεζεύξαμεν καὶ μεθ' 24
ἡμέρας ε' ἐκυριεύσαμεν τῆς Πρασιακῆς πόλεως σὺν Πώρῳ καὶ τοῖς σὺν
αὐτῷ [καὶ τοὺς ἐκείνῳ πᾶσιν]. παμπληθὴς δὲ ἦν ἀγαθοῖς, περὶ ὧν ἡμῖν 25
γέγραπται. γενομένου δὲ ⟨τούτου⟩ καί μου τὰ πέριξ κατὰ φύσιν οἰκονο-
μήσαντος καὶ τῶν Ἰνδῶν προθύμως συνελθόντων ἔλεγόν μοι· ‘Βασιλεῦ 26
Ἀλέξανδρε, λήψῃ πόλεις καὶ βασιλείας καὶ ὄρη καὶ ἔθνη, εἰς ἃ οὐδεὶς τῶν
ζώντων ἐπέβη ⟨ποτὲ βασιλεύς⟩.’ . . . τινὲς δὲ ἐκ τῶν πολυϊδρίων ἐλθόντες 27

1 *θεωρία* A Arm. *admiratio* Val. *wunderbares Zeichen* Syr. *μηνιαίωι τρίτηι* A, corr. ex Arm. (*πρώτῳ* pro *Δίῳ*) Syr. (*primo anni mense*) Ausf.; mirus Macedonum mensis loco Aegyptii 3 *ἐχτὸ ἔδ.* A multo plura in cett. (cf. Epist. 207, 17 — 208, 24). Arm. sic: *καὶ ταχέως ἐκέλευσα τὰς σκηνὰς ἀνορθοῦν καὶ τὰ ἄλλα καθιστάναι. ἡμῶν δὲ παρασκευασάντων* (*als ihre Zelte noch nicht wieder eingeschlagen waren* Syr.; nempe — *αζόντων*) *συνέβη ἔρχεσθαι νεφέλην καὶ σκότος ἐγένετο τοσοῦτον, ὥστε ἡμᾶς μηδὲ ὁρᾶν ἀλλήλους. καὶ ἀφανοῦς νεφέλης καὶ ἀέρος σκοτεινοῦ γενομένου καὶ παχυνθέντος, ὥστε τὸν ἥλιον ἀφανῆ εἶναι, τότε εἴδομεν ἐν τῷ ἀέρι ἀνέμους ἰσχυροὺς καὶ διαφόρους* (?) *ἐρχομένους* (*ein Feuer, wie es in der Finsternis brannte* Syr.). *ἑωρῶμεν καὶ ἀπὸ τοῦ οὐρανοῦ ἔμπροσθεν ὡς σταδίοις δέκα* (*von dem Feuer etwa zwei Meilen entfernt eine finstere Wolke* Syr.) *πάσας τὰς νεφέλας εἰς ἀλλήλας συγχυθείσας καὶ πάλιν πυκνῶς πυρραζούσας, καὶ τοῦτο γενόμενον ἡμέρας τρεῖς. καὶ τοῦ ἡλίου ἀφανισθέντος ἡμέρας πέντε χιὼν πολλὴ ἦν. συνέβη στρατιώτας, οἳ θρασέως ἐγένοντο εἰς τὸν ἀέρα* (*quos forte in apertioribus locis nacta sit* Val.), *κατορύττεσθαι ὀρθίους* (*quadrupedia . . . stataria morte obriguisse visitares* Val.). *μετὰ ταῦτα ⟨εὕρομεν⟩ ἐν τῇ χιόνι πλείους ἢ ο'* (*quingenti* Epist.) *τετελευτηκότας. ἡλίου δὲ ἀνατέλλοντος πολλὰ ἀπωλέσαμεν καὶ πολλοὺς ἡμῶν* (sc. cognovimus nos multos amisisse), *καὶ ἦσαν οἱ ἀγροὶ ⟨ἄβατοι⟩ διὰ τὸ τὴν χιόνα ἀπὸ τοῦ ἐδάφους εἰς τὸ ὕψος συναθροίζεσθαι πήχεις τρεῖς.* 4 *λ'*: *δι'* (i. e. *διὰ* pro *δ'*) A, corr. e cett. *εὐβάτου* Arm. (Val.): *δυσεκβάτου* A *so blieben wir wegen der Beschwerlichkeit und der Rauheit des Weges 30 Tage an unserem Orte. Und nach den 30 Tagen zogen wir weiter* Syr. *ἐζεύξαμεν* A 5 *συνήψαμεν πόλεμον καὶ ἐκυρ.* Arm. (cf. c. 3) *συμπόρωι* A, corr. Müll. (item cett.) *τοῖς*: *τοὺς* A 6 *παμπληθὲς* A *πᾶσι δὲ τοῖς ἐκείνου παμπλ. ἀγαθοῖς* Arm. Possis *τοῖς δὲ ἐκεῖ πᾶσι παμπλ. ἦν* 7 add. ex Arm. *δέ μου καὶ τὸ π.* A *κατὰ φύσιν*: de B' cf. ad p. 106, 7. 15 *κατὰ τὸν Ὕφασιν* Ausf. (cf. p. 110, 6) 10 add. ex B'; add. Arm. *καὶ ἴσθι ὅτι εἰς ὃ ἂν θέλῃς μέρος, καὶ οἳ ἂν ὦσιν ἐν τοῖς πολίσμασιν ἄνθρωποι, ἔρχονται πρός σε. χρυσὸς δὲ πλείων τοῦ ἐνθάδε ὄντος ἄλλος οὔποτε ἔστιν. καὶ τούτους ἐπαινέσας εἶπον, ὅτι ἐπὶ τοῖς πολλοῖς πλανήμασιν ὑψηλόφρων ἐγενόμην· εἴ τί που ἴστε τεράστιον καὶ θαυμαστὸν ἄξιον βασιλικῆς θεωρίας, σημήνατέ μοι.* add. Syr. *'gib uns jetzt Befehl in allem, was dir zukommt, damit auch wir uns dir gehorsam erweisen; auch alles Gold und Silber, das in unserem Lande ist, legen wir vor dich hin.' Da sprach ich zu ihnen: 'Wenn es etwas Berühmtes oder Wunderbares in eurem Lande gibt, was ein König sehen muß, so zeigt es mir; und etwas anderes wünsche ich nicht von euch.'* Cf. Val. (Epist. 209, 8). Lacuna in B' quoque. *πολυανδρίων* A, corr. ex B' Meusel (*πολιχνίων* Arm. Val.)

ἔλεγον· ‘Βασιλεῦ, ἔχομέν σοι δεῖξαί τι παράδοξον ἄξιόν σου· δείξομεν γάρ
σοι ⟨φυτὰ⟩ ἀνθρωπιστὶ λαλοῦντα.’ . . καὶ εἰσήνεγκαν ἡμᾶς εἴς τινα 27
παράδεισον, ἔνθα . . . ἥλιος καὶ [ἡ] σελήνη ἐν μέσῳ τοῦ παραδείσου· † κατὰ
δὲ αὐτοὺς φρουρὰ . . . ἱερὸν ἡλίου καὶ σελήνης. δύο δὲ ἦν δένδρα τὰ
προειρημένα, ἃ ἦν παραπλήσια κυπαρίσσοις . . . κύκλῳ δὲ ἦν δένδρα [τὰ
προειρημένα] παρόμοια τῇ ἐν Αἰγύπτῳ μυροβαλάνῳ, καὶ ὁ καρπὸς ὅμοιος.
προσηγόρευον δὲ τὸ μὲν ἀρρενικὸν ἀρρένων λογισμόν, τὸ δὲ θηλυκὸν θηλειῶν· 28
ὄνομα δὲ ἦν τοῦ ἑνὸς ἥλιος, τῆς δὲ θηλείας σελήνη, ⟨ἃ⟩ ἔλεγον τῇ ἰδίᾳ
φωνῇ μουθοῦ ἐμαοῦσαι. ταῦτα δὲ περιεβέβλητο δορὰς παντοίων ⟨θηρίων⟩,
τὸ μὲν ἄρρεν ἀρρένων τὸ δὲ θῆλυ θηλειῶν. παρ’ αὐτοῖς δὲ σίδηρος οὐχ 29
ὑπῆρχεν οὔτε χαλκὸς οὔτε κασσίτερος οὔτε πηλὸς ⟨εἰς⟩ πλάσιν. ἐμοῦ δὲ
ἐρωτῶντος τίνες αἱ δοραὶ δοκοῦσιν εἶναι, ἔφησαν λεόντων καὶ παρδάλεων.
οὐκ ἔξεστι δὲ ὧδε τάφον ἔχειν εἰ μὴ τὸν τοῦ ἡλίου καὶ τῆς σελήνης ⟨ἱερέα⟩.
περιβολαῖς δὲ ἐχρῶντο τῶν θηρίων ταῖς δοραῖς.

---

2 add. ex B′ cett. λαλοῦντες A add. Arm. *καὶ εὐθέως ἐκέλευσα αὐτοὺς μαστίζεσθαι ὡς ἀπατῶντάς με* (cf. Epist 210, 9)· *ἀλλ’ ὅμως ᾠόμην ἀναγκαῖον γνῶναι. καὶ ἐπεὶ ἐπορεύθην ἡμέρας ιβ′* (*ιε′* Syr. Leo, *ι′* Epist.), *ἤλθομεν εἰς κώμην τινά, ἣν ἔλεγον τέλος εἶναι καὶ πέρας τοῦ νότου ἐπὶ τὴν ἀνατολήν. καὶ μετὰ ταύτην ἄλλο οὐδέν ἐστιν, ἀλλ’ ὥσπερ ἔλεγον ἔρημος θηριώδης, οὗ οὐδεὶς ἡμῶν παρεγένετο. καὶ ἐπεὶ παρεγενόμεθα, εἰσήν.* (*adsensi tandem itineri eius terrae, quam sol oriens visitaret* Val. *dies ist das Ende des Erdkreises nach Süden zu, und von hier weiterhin gibt es nichts als eine Wüste und Raubtiere und giftige Reptilien, und niemand von uns kann von hier aus geradeaus weiter kommen* Syr. Notus memoratur Epist 202, 10. 209, 13). Lacuna etiam in B′ ἡμῖν A 3 παράδεισσον et -σσου A recte fere Syr.: *der Garten hatte ein Gehege nicht von Steinen, auch nicht von Lehm, sondern von Bäumen, die rings um ihn herum gepflanzt und so schattig waren, daß nicht einmal das Licht der Sonne und des Mondes durch sie hindurchschien. Und in der Mitte des Gartens war eine andere Einfriedigung eingehegt, und den Tempel der S. u. d. M. nannte man sie.* Brevius Arm. Val. Possis igitur: *ἔνθα ⟨ἕρκος ἦν* (Epist. 212, 7) *οὐ λίθων οὐδὲ πλίνθων, ἀλλὰ δένδρων διὰ τὸν⟩ ἥλιον καὶ τὴν σελ.* (sic. Arm.). *ἐν ⟨δὲ⟩ μ. τ. π.* (Epist. 212, 12) *ἑτέρα ἦν φ. ⟨ἣν ἐκάλουν⟩ ἱ. ἡ. κ. σ.* ἡ add. A^{b} 4 ἱερῶν A B′, corr. ex Arm. cett. *ἡλίου κ. σελ. βωμὸν* Byz. 5 κυπάρισσοι A cf. Epist. 212, 13 *similes cypressis* *arbores caelum ferme proceritate intervectas* Val. (Syr.) κύκλῳ etc. etiam Arm. (qui om. prius τὰ προειρημ.) B′ (qui om. hic τὰ προειρ.). ⟨περὶ⟩ τὰ προειρ. ἦν δ. Raabe. Corrupit haec Val. 6 ὁμοίως A B′ 7 λογισμῷ B′ Arm., om. Val. Syr. (*unum virile robur est Solis, alterum femininum Lunae* Epist. 210, 6) θηλειῶν: θήλυον A 8 facile τοῦ ἄρρενος cl. B′ Arm. 9 *μουθεὰ μαθοὺς* vel sim. B′ *μουθονὰμ ἀοῦσα* Arm. *den einen Mitora, den anderen Majosa* Syr. περιεβλεῖτο A παντοίων (δ superscr.) A add. ex B′ Arm. 10 ἄρεν ἀρένων A 11 debebat οὐδὲ (cf. Epist. 215, 12) κασσίτηρος A πιλῇ πλάσιν A, corr. ex B′ 12 an τίνος? (sic Arm.) παρδαλεόντων A 13 οὐκ — 14 δοραῖς om. B′, — ἱερέα om. Val. Post παρδ. add. *weil es denen, die die Sonne verehren und den Mond, nicht gestattet ist, andere Gewänder anzuziehen als von Fellen* Syr. Uberioris narrationis lacinias tenemus add. Müll. 14 de pellibus cf. Epist. 211, 6. 215, 17

Περὶ δὲ τῶν δένδρων τὴν αἰτίαν ἐζήτουν μαθεῖν· οἱ δὲ ἔφησαν· 30
῾Πρωίας γενομένης, ὅταν ὁ ἥλιος ἀνατείλῃ, φωνὴ ἐκ τοῦ δένδρου φέρεται,
καὶ ὅταν κατὰ μέσον τοῦ οὐρανοῦ γένηται, καὶ ὅταν μέλλῃ δύνειν, τοῦτο
τρίτον· τὸ δ᾽ αὐτὸ καὶ ἐπὶ τῆς σελήνης.᾽ καὶ οἱ δοκοῦντες ἱερεῖς εἶναι 31
προσῆλθόν μοι λέγοντες· ῾Εἴσελθε καθαρὸς καὶ προσκύνησον.᾽ συνεισῆγον δὲ
τοὺς φίλους Παρμενίωνα Κρατερὸν ⟨Φίλιππον⟩ Ἰόλλαν Μαχήτην Θρασυλέοντα
⟨Μαχάονα⟩ Θεοδέκτην Δίφιλον Νεοκλῆν, ἄνδρας ι΄. ὁ δὲ ἱερεὺς ἔλεγεν·
῾Βασιλεῦ, σίδηρον οὐ καθήκει εἰς τὸ ἱερὸν εἰσελθεῖν.᾽ Προστάσσω οὖν τοῖς 32
φίλοις τὰ ξίφη ἀποθέσθαι ἔξω τοῦ περιβόλου· συνεισῆλθον δέ μοι ἐκ τῆς
δυνάμεως ἄνδρες τ΄ ἀμάχαιροι. ἐκέλευσα οὖν τοὺς σὺν ἐμοὶ πάντας
κατοπτεῦσαι κύκλῳ τὸν τόπον. καὶ προσκαλοῦμαι ἐκ τῶν συνακολουθησάντων 33
μοι Ἰνδῶν, ἵνα ἑρμηνείας τύχω παρ᾽ αὐτῶν. ὄμνυμι δὲ Ὀλύμπιον Ἄμμωνα
Ἀθηνᾶν νικηφόρον θεοὺς ἅπαντας ... ἅμα τῷ δῦναι τὸν ἥλιον φωνὴ
ἠνέχθη Ἰνδικὴ ἐκ τοῦ δένδρου, ἣ ἑρμηνεύθη μοι ὑπὸ τῶν Ἰνδῶν τῶν ὄντων
σὺν ἡμῖν. καὶ φοβούμενοι οὐκ ἤθελον μεθερμηνεῦσαι· σύννους ἐγενάμην 34
καὶ εἵλκυσα αὐτοὺς κατὰ μόνας, καὶ εἶπον τοῦτο οἱ Ἰνδοί· ῾Ταχὺ ἀπολέσθαι
ἔχεις ὑπὸ τῶν ἰδίων.᾽ ἐμοῦ δὲ καὶ τῶν παρεστηκότων μοι ἀποτερατωθέντων 35
ἀπὸ τῆς σελήνης ἠβουλήθην πρὸς τὴν ἀνατολὴν ὀψίας πάλιν χρηματισθῆναι.
εἰκάσας δὲ τὸ μέλλον εἰσῆλθον καὶ ἠξίωσα, εἰ ἀσπάσομαι τὴν μητέρα μου

---

1 *δένδρων* Syr. Byz.: *θηρίων* A B′ Arm. *ἤθελε μαθεῖν αὐτὴν φωνὴν τῶν δ.* Byz. 3 *τούτωι τρεῖς· τῶι δ᾽ αὐτῶι* A, corr. ex C L (*tertio?* = *τρίς* Val.) 4 *σελ. γίνεται* B′ *σελ. ἔλεγον* Arm. *idem vero nocturnis horis atque lunaribus arborem feminam* Val. (Syr.) 5 *καθαρῶς* A B′ *προσκ. καὶ λήψῃ χρησμόν* B′ qui pergit: *κ. πάλιν ἔλεγον τῷ Ἀλ.· βασ.* (v. 8) — *εἰσελθ. κ. κελεύει πρότερον κατοπτεῦσαι τ. τ. εἶτα προστάσσει τὰ ξ. ἀ. ἔ. τ. π. συνεισ. δὲ τῷ Ἀλ. ἱκανοὶ εἰς τὸ ἱερὸν κ. ἐκ τ. ἀκολουθούντων αὐτῷ Ἰνδῶν* (= v. 12) 6 add. ex Syr., de numero cf. p. 114, 11 *ἴουλον* A *Isyllum* Val. *Μαχάονα* add. Val. Arm. Cf. Epist. 216, 19 7 *θεόδεκτον* A Arm. Val. *ι′* Arm.: *ια′* A *ιβ′* Syr. 8 *καθῆκεν* A, cf. Ziehen Leg. sacr. 117, 15 9 *συνελθόντες* A, corr. ex B′ 10 *τ′*: trecenti etiam Epist. 211, 23 *ἅμα χαίρων* A (possis *ἄνευ μαχαιρῶν*): *ἄοπλοι* Arm. *τοὺς σὺν*: *octoginta viros* Val. 11 *κατοπτ., μή πώς τις ἐπὶ τῶν δένδρων ἐφεσταίη* Arm. *ecquis esset, qui forte vocem de proximo subiectaret, quam nos ex illis arboribus ferri arbitraremur* Val. = Epist. 213, 13 13 *νικαφόρων* A post *ἅπαντας* add. B′ *ὅτι ἐὰν δύνῃ ὁ ἥλιος καὶ φωνή μοι χρησμοῦ μὴ ἀκουσθῇ, ζῶντας ὑμᾶς ἐκπρήσω* B′ Syr. *ὅτι οὐκ ἀποκτείνω ὑμᾶς* Arm. *poenam illum capitis non evasurum, si promissum ex arbore responsum diffamatumque tacuisset* Val. 14 *ἐνέχθη* A *ἥ*: *ἧι* A *welche uns unverständlich war.* *προσεκαλεσάμην ἐκ τῶν Ἰ., οἱ δὲ οὐκ ἤθ.* Arm. *eiusque interpretamenta haut quisquam nobis edissertare audebat* Val. Possis *ἣν ἑρμηνευθῆναι ⟨ἐκέλευσα⟩*, cf. Müll. Epist. 213, 26 17 *μοι*: *μου* A mirum *ἀποτερ.* (sic etiam B′ Byz.); in Arm. rex, quae Indi sibi in aurem dixerant (cf. Syr.), adstantes celat 18 *ἀπὸ* Müll.: *ἀποκρυπτούσης* A 19 *εἰκάσας* B Arm.: *ἀκούσας* ACL mater hic intempestive illata; Epist. 214, 9 *consulto igitur, ubi moriturus essem,* et p. 114, 15

Ὀλυμπιάδα καὶ τοὺς γνησίους μου φίλους. πάλιν δέ μοι τῶν φίλων 36
παρεστώτων ἅμα τῷ τὴν σελήνην ἀνατεῖλαι φωνὴν τὸ δένδρον τὴν αὐτὴν
ἐξήνεγκεν Ἑλληνικῇ διαλέκτῳ· ʻΒασιλεῦ Ἀλέξανδρε, ἐν Βαβυλῶνι δεῖ σε
ἀποθανεῖν· ὑπὸ τῶν ἰδίων ἀναιρῇ καὶ οὐ δύνασαι ἀνακομισθῆναι πρὸς
τὴν μητέρα σου Ὀλυμπιάδα.ʼ

Ἐμοῦ δὲ λίαν καὶ τῶν φίλων μου θαυμαζόντων ἐβουλόμην στεφάνους 37
καλλίστους περιθεῖναι τοῖς θεοῖς. τοῦ δὲ ἱερέως λέγοντος· ʻΟὐκ ἐξὸν
τοῦτο γενέσθαι· εἰ δὲ βιάζει, πρᾶξον ὃ θέλεις· βασιλεῖ γὰρ νόμος ἄγραφοςʼ... 38
περιλύπου δέ μου διακειμένου καὶ λίαν δυσφοροῦντος ὅ τε Παρμενίων καὶ
ὁ Φίλιππος παρεκάλουν με περὶ τὸν ὕπνον γενέσθαι· μὴ βουληθέντος δέ
μου ἀναστὰς ὤρθρισα ⟨καὶ⟩ περὶ τὴν ἀνατολὴν σὺν τοῖς ι' φίλοις καὶ τῷ
ἱερεῖ καὶ τοῖς Ἰνδοῖς πάλιν εἰς τὸ ἱερὸν ἀπελθὼν καὶ διαστολὰς δοὺς
προσελθών τε εἰς τὸ ἱερὸν σὺν τῷ ἱερεῖ καὶ ἐπιθεὶς τὴν χεῖρα πρὸς τὸ
δένδρον ἐπηρώτησα λέγων· ʻΕἰ πεπλήρωταί μοι τὰ τῆς ζωῆς ἔτη, τοῦτο 39
βούλομαι παρ' ὑμῶν μαθεῖν, εἰ ἀνακομισθήσομαι εἰς Μακεδονίαν καὶ ἀσπά-
σομαι τὴν μητέρα μου καὶ τὴν γυναῖκα, καὶ τότε † ἀπαναλῦσαι.ʼ Ἅμα δὲ 40
τῷ γενέσθαι τὴν ἀνατολὴν τοῦ ἡλίου καὶ βαλεῖν τὴν αὐγὴν εἰς τὴν κορυφὴν
τοῦ δένδρου φωνὴ ἐξαυδᾷ διαρρήδην λέγουσα· ʻΠεπλήρωταί σου τὰ τῆς 41
ζωῆς ἔτη καὶ ἀνακομισθῆναι οὐκ ἔχεις πρὸς Ὀλυμπιάδα τὴν μητέρα σου,
ἀλλ' ἐν Βαβυλῶνι ἔχεις ἀπολέσθαι. μετὰ δὲ ὀλίγον χρόνον καὶ ἡ μήτηρ σου
καὶ ἡ γυνή σου κακὴν κακῶς ἀπολοῦνται ὑπὸ τῶν ἰδίων καὶ αἱ ἀδελφαί
σου ὑπὸ τῶν περὶ σέ. καὶ περὶ τούτων μηκέτι ἀξίου· οὐ γὰρ ἀκούσῃ ἔτι
πρὸς ἃ ἀξιοῖς.ʼ

Ἐκεῖθεν οὖν ἀναζεύξας περὶ ὥραν α' ... ἀπὸ τῆς Πρασιακῆς παρε- 42

---

1 *μου τ. φ. ἑστώτων* A, corr. Müll. (cf. Arm.) 3 *Ἑλληνικῇ*: *Indice et Graece* loquuntur arbores Epist. 210, 6. 213, 6 4 *ἀναιρεθήσῃ* et *δυνήσῃ* B' *πρὸς* B': *ὑπὸ* A 6 *λίαν* inepte transpositum *καταπλαγέντων* aptius Arm. 7 *παραθ.* B', usitatum *ἀναθ.* *θεοῖς*: *δένδροις* B' 8 *βράζει* A, corr. ex B' Arm. *θέλῃι* A *πᾶς νόμος* B' 9 an del. *δὲ*? *παρμένιος* A 10 *τῶν ὕπνων* A 11 *ἀν. ὄρθρου σὺν τ. ἱερεῦσιν* B' 12 *ἱερεῖ*: *ἀέρι* A *διαστ. δ.*: *μακρὰν ἔλιπον αὐτούς, ἵνα μή τινες τῶν στρατιωτῶν πρόφασιν λάβοιεν* Arm. 13 *τε*: *δὲ* A 14 *ἐπερώτ.* A 15 *εἰ* — 16 *ἀπαναλ.* om. B' Byz. *ὑμῖν* A *μακεδ°|* A 16 *γυν.* *Ῥωξάνην* Arm. *ἐπανελεύσομαι* Arm. Syr. om. B', voluit *ἀπαλλαχθήσομαι* vel sim. *τότε ⟨ἔχω⟩* Rad. 17 *βαλὼν* A, cf. Epist. 213, 9 18 *ἐξαύδει* A *ἐξηύδει* B' 20 post *ἀπολ.* Arm. interpolat sententiam usus Galat. 6, 7 21 *καὶ αἱ* — 22 *σου* om. B' Val., *ἡ ἀδελφὴ* Arm. Syr. Cf. Epist. 190, 6. 215, 21 etc. RE 11, 737. Niese 1, 255 22 *σου ὑπερὶ περὶ σέ* A, corr. ex Arm. (*ὑπὸ τῶν σῶν οἰκείων*). *Ἰνδῶν* pro *ἰδίων* et *Περσῶν* pro *περὶ σέ* l. Val. *ἀξιοῖ* A 24 add. Arm.: *καὶ ἐλθὼν ἡμέρας μιᾶς πορείαν, καλέσας πάντας τοὺς στρατιώτας ἐλάλησα πρὸς αὐτοὺς ὁμονόως περὶ ὧν ἐβούλοντο* (*da beriet ich mich mit meinen Truppen* Syr.). *καὶ ἡμέρας πεντεκαίδεκα* (*XII* Val.) *πορευθεὶς* (*moratus* Val.) *παρεγενόμην ταχέως εἰς τὴν Πρασιακὴν πόλιν. οἱ δὲ ἔπεμψαν εἰς τὰς ἐγγὺς πόλεις, εἴ τι ξένον κέκτηνται τούτων, ἃ ἐνήνεκται ἐκ τοῦ νοτίου κλίματος* (ad p. 112, 2).

γενόμην ⟨εἰς Περσίδα⟩. ἠπειγόμην δὲ ἐπὶ τὰ Σεμιράμεως βασίλεια. ⟨ταῦτα⟩ ἀναγκαῖον ἡγησάμην δηλῶσαί σοι. ἔρρωσο.'

Οὕτως γράψας τὴν ἐπιστολὴν ὁ Ἀλέξανδρος τῷ Ἀριστοτέλει ἐπῆγε 18
τὰ στρατεύματα ἐπὶ τὰ Σεμιράμεως βασίλεια· ἐπιθυμητικῶς γὰρ αὐτὰ εἶχε θεάσασθαι· ἦν γὰρ καθ' ὅλην τὴν χώραν καὶ τὴν Ἑλλάδα περιφήμιστα
. . . ἐβασίλευε δὲ τῆς πόλεως γυνὴ ἔχουσα κάλλος ὑπερήφανον, μέσης ἡλικίας 2
τυγχάνουσα ⟨χήρα, τριῶν παίδων μήτηρ, ὄνομα Κανδάκη⟩, Σεμιράμεως τῆς βασιλίδος ⟨ἀπόγονος⟩. πρὸς αὐτὴν ἔπεμψεν ἐπιστολὴν Ἀλέξανδρος περιέχουσαν οὕτως· [Ἐπιστολὴ Ἀλεξάνδρου Κανδάκῃ.]

'Βασιλεὺς Ἀλέξανδρος βασιλίσσῃ Κανδάκῃ τῇ ἐν Μερόῃ καὶ τοῖς ὑπ' 3
αὐτὴν τυράννοις χαίρειν. παραγενάμενος εἰς Αἴγυπτον ἤκουσα παρὰ τῶν ἐκεῖ ἱερέων † εἶδον ὑμῶν τάφους καὶ οἰκητήρια δηλοῦντα, ὅτι χρόνον τινὰ ἐκυριεύσατε Αἰγύπτου καὶ Ἄμμων μεθ' ὑμῶν ἐστράτευσε, μετὰ δὲ ὀλίγον χρόνον πάλιν χρηματίσαντος Ἄμμωνος ἀνελύσατε εἰς τὴν ἰδίαν πόλιν. διὸ 4
ἔπεμψα πρὸς ὑμᾶς· τόν τε ναὸν καὶ ⟨τὸ⟩ ξόανον τοῦ Ἄμμωνος ἀγάγετε ἐπὶ τὰ ὅρια, ἵνα θύσωμεν αὐτῷ. εἰ δὲ μὴ βούλεσθε ἔρχεσθαι σὺν αὐτῷ, συμμίξαντες ἐν τάχει ἐν Μερόῃ συμβουλευσώμεθα. πέμψατε ἡμῖν ἐνθάδε ἃ ἂν φαίνηται.'

προσήνεγκαν πρὸς ἐμὲ δέρματα ἰχθύων ὁμοίως καὶ παρδάλεων (*ähnlich den Fellen der Leoparden* Syr. *habentes figuras ex pelle pardoleonis* Leo) καὶ μεγίστους ὀδόντας τριπήχεις, σαλομυρίνων ἑξαπήχεις (*und die Ohren* [Brustflossen] *dieser Fische waren je 6 Ellen lang* Syr.) σταθμὸν ἔχοντας ταλάντου, ἰουλίδων δυοῖν ταλάντων καὶ ἄλλους ὀδόντας ἰχθύων πηχυαίους ἁρμόζοντας εἰς τοὺς κολεοὺς τῶν ξιφῶν. προσήνεγκαν ἐμοὶ ὄστρεα σὺν τοῖς ἄλλοις πᾶσιν· ἓν πορφυροῦν ἦν καὶ ἐχώρει ποτήρια ἕξ (*fünfzig Maß* Syr. cf. Epist. 218, 20) καὶ λίαν θαυμαστὸν ἦν τὴν ὄψιν, ἕτερον δὲ ἐχώρει ποτήρια τέσσαρα καὶ ἄλλα ἓν ποτήριον· σπόγγοι πορφυροῖ τριάκοντα καὶ γλαυκοὶ πεντήκοντα. Cf. Syr.; pauca habet Leo, prima tantum (ad πόλιν) Val. παραγινομένης A, corr. ex B'

1 add. ex B' Arm. Val. Longa interpolatio in Syr. ἐπειγόμην A add. Müll. 4 γὰρ αὐτὰ: παραυτὰ A 5 εἶχον A περιφήμιστος A, corr. e cett. 6 add. Arm. ἦν γὰρ ἡ πόλις περιτετειχισμένη αὐτοφύτοις λίθοις, τὸ μῆκος καὶ τὸ πλάτος σταδίων τριῶν, πύλαις ἑκατὸν καὶ εἴκοσι τετειχισμένη καὶ ἀπὸ τοῦ ἔξωθεν μέρους τὰς πύλας ἀμφιέσασα σιδήρῳ καὶ χαλκῷ. πολὺς γὰρ ἔστι παρ' αὐτοῖς σίδηρος. καὶ πᾶσα ἡ πόλις λιθοδμήτοις οἴκοις ᾠκοδομημένη ἦν = Syr., pauciora Val. ὅλης τῆς χώρας B' Syr. Leo 7 add. ex Arm. Val. Syr. Leone 8 add. ex C Val. (*proneptis*) 10 prorsus mutavit hanc epist. Byz. ἐμ A 11 αὐτῆι A εἰς? A 12 εἶδον A Syr. (qui l. fere Αἴγ. εἶδον ὑ. τ. κ. οἰκ. καὶ ἤκουσα π. τ. ἐ. ἱ. ὅτι): ἰδὼν Arm. om. B' (περὶ τ. οἰκητηρίων ὑμῶν κ. τ. τάφων κ. ὅτι), exp. εἶναι ἐκεῖ (ita Val.) aut ⟨καὶ⟩ εἶδον 13 αἴγυπτον A seqq. usque ad v. 18 detruncat B' ἡμῶι A 15 ⟨ἵνα⟩ τὸν Arm., et facile ἀγάγητε 16 ἔρχεσθε A 17 ἵνα ὁμοῦ ὦμεν ἐν τ. ἐν Μ. καὶ ὁμοῦ βουλευσώμεθα Arm. ἓν μέρος συμβουλευσάμενοι A ἐνθάδε ἃ ἂν φ. Ausf.: ἔνθα ἐμφαίνηται A (ὃ ἂν B' Arm.) 18 φ. καλόν Arm. ἔρρωσο add. B'

Ἀντέγραψεν αὐτῷ καὶ ἡ Κανδάκη· [Ἐπιστολὴ Κανδάκης Ἀλεξάνδρῳ.] 5
Βασίλισσα Κανδάκη Μερόης καὶ οἱ ὑπ' αὐτὴν τύραννοι βασιλεῖ Ἀλεξ-
άνδρῳ χαίρειν. τότε μὲν ἔχρησεν Ἄμμων στρατεύειν εἰς Αἴγυπτον, νῦν
δὲ μήτε αὐτὸν κινεῖσθαι μήτε ἄλλον τινὰ ἐπιβαίνειν εἰς αὐτήν, τοὺς δὲ
παραγινομένους πρὸς ἡμᾶς ἀμύνασθαι καὶ χρῆσθαι ὡς πολεμίοις. μὴ 6
καταγνῷς δὲ τοῦ χρώματος ἡμῶν· ἐσμὲν γὰρ λευκότεροι καὶ λαμπρότεροι
ταῖς ψυχαῖς τῶν παρὰ σοῦ λευκοτάτων. ὑπάρχομεν δὲ εἰς πλῆθος σκυτάλαι
π' ἐν ἑτοίμῳ πρὸς τοὺς ἐπιόντας κακοποιεῖν. ὀρθῶς δὲ ποιήσεις Ἄμμωνα
θεὸν προτιμῶν. κομίζουσι δέ σοι οἱ παρ' ἐμοῦ πρέσβεις χρυσᾶς πλίνθους 7
ὁλοσφυρήτους ρ', Αἰθίοπας ἀνήβους φ', ψιττακοὺς σ', σφίγγας σ' καὶ τῷ
Ἄμμωνι τῷ ἡμετέρῳ θεῷ τῷ ἐπὶ τῶν ὁρίων τῆς Αἰγύπτου στέφανον διὰ
σμαράγδων καὶ μαργαριτῶν ἀτρήτων, ἐσφραγισμένους ὁρμαθοὺς ι' . . .
γλωσσοκόμια ἐλεφάντινα π'. ἔστι δὲ τὰ πεμφθέντα θηρίων γένη παρ' 8
ἡμῶν ἐλέφαντες τν', παρδάλεις τ', ῥινοκέρωτες π', πάνθηρες ,δ', ἐν γαλε-
άγραις κύνες ἀνθρωποφάγοι ϙ', ταῦροι μάχιμοι τ', ὀδόντες ἐλεφάντων ϙ',
δοραὶ παρδάλεων τ', ῥάβδοι ἐβένιναι ,αφ'. πέμψον οὓς βούλῃ τοὺς παρα- 9
ληψομένους ταῦτα εὐθέως καὶ γράψον ἡμῖν, ὅτε ὅλης τῆς οἰκουμένης
κεκυρίευκας.

Λαβὼν δὲ ὁ Ἀλέξανδρος καὶ διελθὼν ἔπεμψε Κλεομένην Αἰγύπτου 19
ἐπιμελητὴν ταῦτα παραληψόμενον· αὐτὸς δὲ ὥδευσε πρὸς αὐτήν. ἡ δὲ 2
Κανδάκη ἀκούσασα περὶ Ἀλεξάνδρου [καὶ] πῶς ταῖς πόλεσιν ἐπιβαίνει καὶ
πῶς χειροῦται τοὺς τηλικούτους βασιλεῖς, ἕνα τῶν ἑαυτῆς ζωγράφων φωνή-
σασα Ἕλληνα ἐκέλευσε πορευθέντα αὐτὸν ὡς εἰς ὑπάντησιν αὐτῷ ἀγνωστὶ

---

3 *τότε μὲν* — 5 *πολεμίοις* om. B′ 4 *νῦν δέ μοι* (sc. *χρησμὸς ἦλθεν*), *μήτε κινεῖσθαι ὑπ' ἐμαυτῆς μήτε ἄλλον τινὰ βαίνειν ἐπ' ἐμέ* Arm. 5 *ἀμ. κεχρῆσθαι* A 6 *λευκ. καὶ* om. B′ Arm. 7 *δὲ πλ. ἐξ ἀπείρων χρόνων* Arm., **unde Ausf.** *ἐκ τοῦ πάλαι φυλαὶ σκυτάλην ἐν ἑτ.* A *σκυτάλαι π' ἕτοιμοι* B′ Arm. Val. (*populos*); *ich habe Truppen in der Zahl von achthunderttausenden* Syr. Vocem insolitam tollere nolui 9 *σοι* B′ Arm.: *καὶ* A *παρεμοὶ* A 10 *ὁλοσφυρύτου* A *φ'* A cett.: *ρ'* Leo *σ'* A cett.: *ς'* Val. *σ'* A cett.: *ς'* Val. *φ'* Byz. 11 *τὸν ἐπὶ* A 12 *ἀτρήτων* B′ Syr. (*τρητὸν* Arm.): *ᾱ τρίτον* A *ι'* A B′: *ν'* Arm. add. *ἐσφραγισμένους* (om. h. v. ante *ὁρμ.*) *στατῆρας ι'* B′ *καὶ ἀτρήτων μαργαριτῶν καὶ ἀτρήτων σμαράγδων ἑτέρους στατῆρας ι'* Arm. *στατ. ι'* etiam Byz. *zwanzig undurchbohrte Perlen und dreißig undurchbohrte Smaragden* Syr. 14 *τν'* Val. Syr.: *τη'* A *τνς'* Arm. *υν'* Leo *π'* B′ *τ'*: *ς'* Val. *ι'* B′ *π'* cett.: *ιγ'* A Arm. *,δ'* Syr. Val.: *δ'* A Arm. *,γ'* Leo 15 *ϙ'* Arm. Val.: *ς'* A *,γ'* Syr. *λ'* B′ *τ'*: *,γ'* Syr. *λ'* B′ *ϙ'* A Arm.: *ς* C *τ'* Byz. B′ 16 *παρδαλεόντων* A *τ'* A cett.: *υ'* Leo *,αφ'* A Val. Leo: *,ζφ'* Arm. *,ατ'* Syr. *,γ'* C Byz. *,βψ'* B *ἐβεννίναι* A *βούλομαι· παραληψομαι* (supra *ους*) A 17 *ὅτε* Syr. Leo: *ὅτι* A B′ Arm. 19 *ἀπελθὼν* A *ἀναγνοὺς* B′ Arm. 20 *ἐπικελήτην* A *παραληψόμενος* A *αὐτὸς* (*ὁ* Arm.) falso ad Alex. rettulit Val. *ἡ*: *ὡς* A 22 *χειρεῖται* A exp. *ἕνα τ. ἑ.*, *ζωγράφον Ἑλλ. φων.* (cf. B′) 23 *ὡς* om. B′ *ἄγνωστα* A

ζωγραφῆσαι τὸν Ἀλέξανδρον καὶ ἐπιστρέψαντα δοῦναι τῇ Κανδάκῃ. ἡ δὲ
λαβοῦσα ἔθετο ἐν ἀποκρύφῳ τόπῳ.

Ἐγένετο δέ τι τοιοῦτον. ὁ υἱὸς τῆς Κανδάκης ὀνόματι Κανδαύλης 3
μετὰ ὀλίγων ἱππαστῶν κατατρέχει εἰς τὰς σκηνὰς Ἀλεξάνδρου· οἱ δὲ ἐκεῖ
φύλακες συλλαμβάνουσιν αὐτὸν καὶ παριστῶσι τῷ σωτῆρι Πτολεμαίῳ ἔχοντι
τὰ δεύτερα τῆς βασιλείας· ἐκοιμᾶτο γὰρ ὁ Ἀλέξανδρος. ἐξήτασεν αὐτὸν 4
ὁ Πτολεμαῖος· ʻτίς τυγχάνεις;ʼ ὁ δὲ εἶπεν· ʻυἱὸς Κανδάκης τῆς βασιλίδος.ʼ
ὁ δέ· ʻτί οὖν ὧδε ποιεῖς;ʼ ὁ δέ· ʻμετὰ τῆς γυναικός μου καὶ ὀλίγης στρατείας
ἠρχόμην ἐνιαύσιον τελέσαι μυστήριον παρὰ τὰς Ἀμαζόνας. ὁ δὲ τύραννος 5
τῶν Βεβρύκων ἰδών με γυναῖκα ἔχοντα καὶ ἐξελθὼν μετὰ πλείστης δυνά-
μεως ἥρπασεν αὐτὴν καὶ τοὺς πλείονάς μου στρατιώτας ἀνεῖλεν. συνέστρεφον
οὖν, ὅπως πλείονα δύναμιν παραλαβὼν κατασκάψω τὴν Βεβρυκίαν.ʼ Ταῦτα 6
ἀκούσας ὁ Πτολεμαῖος ἀνίσταται καὶ εἰσελθὼν πρὸς Ἀλέξανδρον καὶ
διυπνίσας αὐτὸν διηγεῖται αὐτῷ ἅπερ ἤκουσεν. ἀκούσας δὲ ὁ Ἀλέξανδρος 7
εὐθέως ἐγείρεται καὶ ἄρας αὐτοῦ τὸ διάδημα ἔστεψε τὸν Πτολεμαῖον καὶ
τὴν χλανίδα περιέβαλλεν αὐτῷ καὶ λέγει· ʻπορεύου ὡς σὺ τυγχάνων Ἀλέξ-
ανδρος καὶ εἰπέ· Ἀντίγονόν μου τὸν παρασπιστὴν φωνήσατε· καὶ ὅταν
ἔλθω, διήγησαί μοι περὶ ὧν εἶπές μοι καὶ εἰπέ· τί βουλευσόμεθα περὶ
αὐτοῦ; δός μοι συμβουλίαν.ʼ

Ἐξῆλθε δὲ ὁ Πτολεμαῖος· ὃν θεασάμενα τὰ στρατεύματα συνεφορά- 8
ζοντο, τί πάλιν ἐνθυμεῖται ὁ φρενήρης Ἀλέξανδρος. ὁ Κανδαύλης δὲ ἰδὼν
αὐτὸν ἐν τῇ βασιλικῇ ἐσθῆτι ἐδεδοίκει, μὴ κελεύσῃ αὐτὸν ἀναιρεθῆναι·
αὐτὸν γὰρ ὑπώπτευεν εἶναι τὸν Ἀλέξανδρον. εἶπε δὲ ὁ Πτολεμαῖος· ʻἈντί- 9
γονόν μοί τις καλεσάτω τὸν παρασπιστήν μου.ʼ προσῆλθεν Ἀλέξανδρος·
εἶπεν ὁ Πτολεμαῖος· ʻἈντίγονε, οὗτός ἐστιν ὁ υἱὸς Κανδάκης τῆς βασιλίσσης·
ἡρπάσθη δὲ αὐτοῦ ἡ γυνὴ ὑπὸ τοῦ τυράννου τῶν Βεβρύκων. τί μοι συμ-
βουλεύεις ποιῆσαι;ʼ ὁ δὲ εἶπεν· ʻἈλέξανδρε, συμβουλεύομαί σοι καθοπλί- 10
σαντά σου τὴν στρατείαν πολεμῆσαι τοῖς Βέβρυξιν, ἵνα λυτρωσώμεθα αὐτοῦ
τὴν γυναῖκα καὶ παραδώσωμεν αὐτῷ εἰς τιμὴν τῆς μητρὸς αὐτοῦ.ʼ ʻΟ δὲ 11
Κανδαύλης ἔχαιρε ταῦτα ἀκούων· εἶπε δὲ ὁ Πτολεμαῖος· ʻεἰ τοῦτο βούλῃ,
Ἀντίγονε, τοῦτο καὶ ποίησον· ὡς παρασπιστής μου κέλευσον ἑτοιμάζεσθαι
τὴν στρατείαν.ʼ

4 post ἱππ. add. fere *βίαν ὑπομεῖναι ὑπὸ τοῦ τῆς Βεβρυκίας τυράννου, ἁρπαγείσης τῆς γυναικὸς αὐτοῦ* B′ Byz. *κατατρέχειν* A *τὴν σκηνὴν* Arm. Leo (*tentoria* Val.) 5 *συλλαμβάνονται* A 6 *ἐξετάσας* A 8 *τί ὧδε ἐλήλυθας;* B′ Leo 10 *μου τὴν γυναῖκα* B′ Arm. 11 *ὑποστρέφω* B′ *-στρέψω* Arm. 14 *αὐτῷ*: *αὐτὸν* A 16 *χλαμύδα* B′ Val. *ὡς συντυγχάνεις* A 17 *μοι* B′ *ὑπασπιστὴν* vel *ὑπερασπ.* B′ (item 24. 31 etc.) 18 voluit *βουλευσώμεθα* 23 *τὸν* om. B′ 24 *μου* A an *προῆλθεν*? 27 *συμβουλεύω* B′ 30 *εἰ*: *εἰς* A 31 *ὡς π. μ.* cum antecedentibus iungere potes; *παρασπιστῇ μοι* A

Οἱ μὲν οὖν ἡτοιμάζοντο κελεύοντος τοῦ Πτολεμαίου· ὁ δὲ Ἀλέξανδρος 20
ἔφθασεν ἐπὶ τὸν τόπον παρὰ μίαν ἡμέραν. καὶ εἶπεν ὁ Ἀντίγονος·
'Ἀλέξανδρε, μὴ ὀφθῶμεν τοῖς Βέβρυξιν ἡμέρας, μήποτε μαθὼν ὁ τύραννος
πρὸ τῆς μάχης τὴν τούτου γυναῖκα ἀναιρήσῃ. καὶ ποῖον ἔτι ἡμῖν ἐστι 2
κλέος νίκης τοῦ Κανδαύλου ἀπολέσαντος τὴν γυναῖκα; ὥστε νυκτὸς εἰσβῶμεν
εἰς τὴν πόλιν καὶ ἀνάψωμεν ⟨τὰς⟩ οἰκίας, καὶ αὐτοὶ οἱ ὄχλοι τὴν γυναῖκα
ἡμῖν παραδώσουσιν· οὐ γάρ ἐστιν ⟨ἡ⟩ μάχη περὶ βασιλείας, ἀλλὰ περὶ
ἀπαιτήσεως γυναικός.' Οὕτως εἰπόντος τοῦ Ἀντιγόνου προσέπεσεν αὐτῷ 3
ὁ Κανδαύλης καὶ εἶπεν· 'ὦ τῶν φρενῶν σου, Ἀντίγονε· εἴθε σὺ ἦσθα
Ἀλέξανδρος καὶ μὴ παρασπιστὴς Ἀλεξάνδρου.' καὶ δὴ νυκτὸς [εἰσβαινούσης] 4
εἰσῆλθον εἰς τὴν πόλιν καὶ κοιμωμένων αὐτῶν ἀνάπτουσιν τὰ προάστεια.
αὐτῶν δὲ διυπνισθέντων καὶ πυνθανομένων, τί τὸ αἴτιον τοῦ ἐμπρησμοῦ,
ἐκέλευσεν ὁ Ἀλέξανδρος ἐκβοᾶν, ⟨ὅτι⟩ Κανδαύλης ἐστὶν ὁ βασιλεὺς μετὰ πλεί-
στης δυνάμεως κελεύων ὑμῖν· ἀπόδοτέ μοι τὴν γυναῖκα, πρὶν ὅλην τὴν πόλιν 5
καταφλέξω.' οἱ δὲ προληφθέντες πάντες καὶ γενόμενοι κατὰ τοῦ τυράννου
αὐτῶν ἤνοιξαν τὰ βασίλεια καὶ σύγκοιτον οὖσαν τὴν γυναῖκα τῷ τυράννῳ
ἀπέσπασαν καὶ παρέδωκαν αὐτὴν τῷ Κανδαύλῃ, τὸν δὲ τύραννον ἀνεῖλον.
Ὁ δὲ Κανδαύλης εὐχαριστήσας τῇ συμβουλίᾳ καὶ τῇ ἐπινοίᾳ τοῦ 6
Ἀλεξάνδρου καὶ περιπλακεὶς αὐτῷ εἶπεν· 'Ἀντίγονε, πίστευσον σεαυτὸν
ἐμοὶ ⟨καὶ ἐλθὲ⟩ πρὸς τὴν μητέρα μου, ἵνα σοι δῶρα βασιλικὰ δῶ.' ὁ δὲ 7
Ἀλέξανδρος χαίρων εἶπεν· 'αἴτησαί με παρὰ τοῦ βασιλέως· κἀγὼ γὰρ
ἐπιθυμῶ θεωρῆσαι τὴν πόλιν.' μεταδέδωκε δὲ τῷ Πτολεμαίῳ Ἀλέξανδρος,
ἵνα αὐτὸν ἐκπέμψῃ ὡς ἄγγελον αὐτοῦ. εἶπε δὲ ὁ Πτολεμαῖος Κανδαύλῃ· 8
'βούλομαι διὰ γραμμάτων ἀσπάσασθαί σου τὴν μητέρα· ὥστε παραλαβὼν
τὸν ἄγγελόν μου Ἀντίγονον πάλιν σῶον ἔκπεμψον ὧδε, ὥσπερ καὶ σεαυτὸν
σῶον σὺν τῇ γυναικί σου ἀποκαθιστῶ.' ὁ δὲ εἶπε· 'βασιλεῦ, οὕτω παρα- 9
λαμβάνω τὸν ἄνδρα τοῦτον παρ' ἐμαυτῷ ὡς αὐτὸν Ἀλέξανδρον. ἐκπέμψω
δέ σοι αὐτὸν μετὰ βασιλικῶν δώρων.'

Καὶ δὴ πορευόμενος ἔλαβεν ἱκανὴν στρατείαν καὶ τῆς ὁδοιπορίας τὰ 21
κτήνη καὶ ἁμάξας. ὁδεύων δὲ ἐθαύμαζε τὰ ποικίλα ὄρη τῆς κρυσταλλο-
φόρου τὰ φθάνοντα μέχρι τῶν οὐρανίων νεφῶν καὶ τὰ δένδρα τὰ ὑψι-

---

1 ὃς Ἀλ. A 2 ἔφθασαν A μετὰ μίαν Arm. *als es noch Tag war* Syr. recte 5 πλέον νίκος A, corr. ex B′ Arm. ὥστε A: ἀλλὰ B′ Arm. 7 ἡμῖν ἡ B′ Arm. 10 possis etiam εἰσβαίνουσιν εἰς (εἰσβάλλουσιν B′) 11 κοιμ. τῶν ἀστῶν Rad. ἀνάπτωσιν τὰ πρόστα A 12 fort. αὐτῶν· ⟨τῶν⟩ δὲ ut Arm. τῶν δὲ B′ 13 ἐκέλ. Ἀλέξανδρος cett. 14 κελεύω B′ Byz. μου A 15 προλαληθέντες A, corr. ex B′ Arm., *infolge ihrer Furcht* Syr. An προκαταλ.? πάντας ἀνέστησαν κ. γεν. Arm. παραγενόμενοι εἰς τὰ τοῦ Arm. Val. εἰς τὰ τ. τ. οἰκήματα B′ 17 αὐτῆι τὸν Κανδαύλην A 20 add. ex Arm. Syr. ὅπως ἄρω σε B′ 21 τοῦ geminat A 22 μεταδ. A: *significavit antea* Leo τὸν πτολεμαῖον A 25 τὸν Arm. B′: τοῦτον A 26 ἀποκαθισταῖ A 27 an ἐμαυτόν? 29 ὁδοιπορικὰ κτ. Arm. 31 οὐρανῶν A

πέταλα καρπῶν καταγέμοντα, οὐχ ὡς παρ' Ἕλλησιν, ἀλλ' ὡς ἴδια θαύ-
ματα. μηλέαι γὰρ ἦσαν χρυσίζουσαι ... ὥσπερ τῶν παρ' Ἕλλησι κιτρίων, 2
καὶ βότρυες σταφυλῆς, ὡς μὴ δύνασθαι δραγμὸν ἕνα χωρῆσαι, καὶ ῥοιαὶ
⟨τὸ⟩ τῶν βαλάνων ἔχουσαι περίμετρον ὡς πεπόνων μεῖζον. πλεῖστοι δὲ 3
δράκοντες περὶ τὰ δένδρα ἐνειλοῦντο καὶ σαῦροι ἰχνευμόνων μείζονες
πίθηκοί τε οὐδὲν ἀποδέοντες τῶν παρ' Ἕλλησιν ἄρκτων ἄλλα τε ζῷα
μυρία ποικίλα τῇ χροᾷ καὶ ξένα τῇ μορφῇ. ἔνιοι δὲ ἦσαν τόποι ἔνθεοι 4
καὶ κοῖλοι πετρώδεις καταβάσεις ἔχοντες. εἶπεν ὁ Κανδαύλης· 'Ἀντίγονε,
τὰ ὧδε θεῶν οἰκητήρια καλεῖται, καὶ πολλάκις ἐν τούτοις τοῖς σπηλαίοις
ὁρῶνται ἐπὶ κλιντηρίων θεοὶ τῷ αὐτοὺς καλέσαντι βασιλεῖ. ὥστε ἐὰν
θέλῃς ἆρον σπονδὴν καὶ ποίησον θυσίαν ἐν τοῖς τόποις, καὶ φανήσονταί
σοι.' καὶ ὁ μὲν Κανδαύλης οὕτως εἶπε. καὶ τὴν πορείαν ἐποιοῦντο καὶ 5
ἔφθασαν εἰς τὰ βασίλεια, καὶ ὑπήντησαν αὐτῷ οἱ ἀδελφοὶ αὐτοῦ καὶ ἡ
μήτηρ. καὶ ὡς ἔμελλον περιπλέκεσθαι αὐτῷ, ὁ Κανδαύλης εἶπεν· 'οὐ 6
πρότερον ἐμοὶ περιπλακήσεσθε, ἀδελφοί, εἰ μὴ ἂν τὸν σωτῆρά μου γενό-
μενον καὶ τῆς γυναικός μου εὐεργέτην ἀσπάσησθε, Ἀντίγονον ἄγγελον
βασιλέως Ἀλεξάνδρου.' οἱ δὲ εἶπον· 'τί σοι παρέσχε σωτήριον'; ὁ δὲ 7
διηγήσατο αὐτοῖς τὴν ἁρπαγὴν τῆς γυναικὸς τὴν γεναμένην ὑπὸ τῶν Βεβρύ-
κων καὶ τὴν ἄλλην βοήθειαν, ⟨καὶ⟩ περιεπλάκησαν αὐτῷ οἱ ἀδελφοὶ καὶ
ἡ μήτηρ. λαμπρὸν δὲ καὶ βασιλικὸν γίνεται δεῖπνον.

Τῇ δὲ ἑξῆς προῆλθεν ἡ Κανδάκη ἐν βασιλικῷ διαδήματι ἐμφαίνουσα 22
ὑπερμεγέθη τὴν ἡλικίαν καὶ τὴν ὄψιν ἡμίθεον, ὡς δοκεῖν τὸν Ἀλέξανδρον
ὁρᾶν τὴν ἑαυτοῦ μητέρα Ὀλυμπιάδα. ἔβλεπε δὲ τὰ βασίλεια λάμποντα 2
χρυσορόφοις στέγεσιν καὶ πετρώδεσι τοίχοις. στρωμναὶ δὲ ἦσαν, σηρικῆς

1 καρποῖς A 2 add. B′ τὸν ὄγκον τῆς ὀπώρας ἔχουσαι cf. Arm. Leo (*portantes poma grandia*) ὡς τὰ π. Ἕ. κίτρα B′ (Arm.) 3 β. στ. etiam Arm. Leo βοτρύων σταφυλαὶ B′ Byz. δραγμὸν: ὥρακον A *ut singulis acinis vel improbissimis oris hiatibus non occursares* Val. ὃν μὴ δύναται διαθήκη ἕνα χωρῆσαι εἰς γράμμα Arm. *quales portare non potuerat unus homo* Leo χ. κάροια τῶν βαλ. A, corr. ex Val. (*grana illis quo glandes impetu, verum ignicantia, tum sapora; ipsaque mala non minus pepone excrescunt*) Arm. (ῥοιαὶ μείζονες τῶν πεπόνων). κάρυα ἔχοντα περίμετρον πεπόνων B′ (cf. Syr. Leo) 4 πεπόνωι μείζονες A, an τῶν pro ὡς? 5 ἰεχευμόνων A 6 δὲ A ἄρκων A 8 κοῖλοι scr. dubit.: τοῖχοι A B′ κοιλώματα βύθια Arm. Possis ἔνθ. κατώρυχοι 9 καὶ πολλ. — 12 εἶπε om. B′ 10 βασιλεῖς A 11 θυσίαν: add. Syr. *während du dich umwendest um heimzukehren* (cf. c. 24, 1) 13 ἔφθασεν A 15 de ἂν cf. Raderm. NTG² 198 πρῶτον τὸν Arm. 16 ἀσπάσασθε A τὸν ἄγγ. B′ 17 τίς σοι A ὁ A: ὡς B′ Arm. Syr. 19 ἄλλην: ἐξ Ἀλεξάνδρου B′ Syr. 20 καὶ: κατα A κατὰ τὰ βασίλεια B′ Arm. 22 τὴν ὑπεροχὴν τοῦ τῆς ἡλικίας μεγέθους Arm. 24 στρωμναῖς A σηρικοῖς ὑφασμένοις A σηρικοῖς ὑφάσμασι τετεχνιτευμένα B′

*ὑφάσματα τέχνης, χρυσῷ δεδημιουργημέναι, κλιντῆρες δὲ οὐνιώνων καὶ
βηρύλλων τὰς βάσεις ἔχοντες. τὰ δὲ ἀνάκλιντρα ἱμαντοδέτοις κολλήμασιν
ἐπτυγμένα τράπεζαί τε ἐλεφαντίνοις ἥλοις ἡλωμέναι ... ὥστε διὰ τὸ πλῆθος
μὴ δυνηθῆναι ἀριθμεῖσθαι· ἅρματα δὲ δρεπανηφόρα τετορνευμένα ἐκ πορφυ-* 3
*ρίτου λίθου σὺν τοῖς ἡνιόχοις καὶ πώλοις, ὡς δοκεῖν αὐτοὺς εἰς δρόμον
ὁρμᾶν, καὶ ἐλέφαντες ἐκ τοῦ ὁμοίου λίθου [χρώματος] γλυφέντες τοῖς ποσὶ
συμπατοῦντες τοὺς πολεμίους καὶ ταῖς προβοσκίσιν εἰλίσσοντες τοὺς ἀντι-
δίκους· ὅλοι τε ναοὶ σὺν τοῖς κίοσιν ἐκ μιᾶς ψήφου γεγλυμμένοι, καὶ βαρ-* 4
*βάρων θεῶν ἀγάλματα τοῖς ὁρῶσι μετά τινος φόβου ἐκφαίνοντα τὴν ὄψιν
εἰς τὸ αἱματηρόν, δοκοί τε οὐρανομήκεις ⟨εἰς⟩ τὸ ὕψος ἐστεγασμένοι ὅσα
πλάτανοι ἢ κυπάρισσοι· κατάρρυτος δὲ ποταμὸς χρυσοϋφὲς ὕδωρ διαβλύζων,* 5
*ἄλλο γένος Πακτωλοῦ· καὶ † συγκείμενον δένδρον στιχηρὸν πίπερος ἤκμασεν
ὀπώραν.*

Ταῦτα ὁρῶν ὁ Ἀλέξανδρος ἀπεθαύμαζε. καὶ ἦν συνέστιος τοῖς 6
*ἀδελφοῖς Κανδαύλου· παρεκάλει δὲ ὁ Κανδαύλης τὴν μητέρα καὶ ἠξίου
διδόναι τῷ ἀγγέλῳ ἄξια τῆς αὐτοῦ φρονήσεως δῶρα καὶ ἀπολῦσαι ⟨αὐτόν⟩.
τῇ δὲ ἑξῆς λαβοῦσα τῆς χειρὸς τὸν Ἀντίγονον Κανδάκη ἐδείκνυεν αὐτῷ* 7
*κοιτῶνας διαυγεῖς ἐξ ἀερίτου λίθου, ὥστε τὸν ἥλιον διὰ τῶν μαρμάρων
ὑπονοεῖν ἔνδοθεν ἀνατέλλειν· καὶ ἐν αὐτῷ δὲ τρίκλινος ἐξ ἀμιάντων ξύλων,
ἅπερ ἐστὶν ἄσηπτα καὶ ἄκαυστα ἀπὸ πυρός. οἰκία δὲ ᾠκοδόμητο οὐ* 8
*παγεῖσα τὸ θεμέλιον ἐπὶ τῆς γῆς, ἀλλὰ μεγίστοις τετραγώνοις [καὶ] ξύλοις
πηχθεῖσα, ἐπὶ τροχῶν συρομένη ὑπὸ εἴκοσιν ἐλεφάντων· ὅπου δὲ ἐπο-
ρεύετο ὁ βασιλεὺς πόλιν πολεμῆσαι, εἰς αὐτὴν κατέμενεν. εἶπε δὲ ὁ* 9

1 *οὐνιώνων* (i. e. unionum) Arm.: *ὠνίων* A om. B′ *triclinia . . ex lapide onichino* Leo (infra *onyx pro saxis* Val., unde *ὀνύχων* Müll.) 2 *βηρύλλων* B′ cett.: *βιούλων* A *ἀνακλίντηρα* A *ἀνακλι(ν)τὰ ἱμαντωμένα χρυσῷ· τράπ.* B′ 3 *ἐμπτυγμένοις* A *ἐξ ἐλεφαντίνης ὕλης* B′ Arm. (et Syr. ut vid.) *ἠπλωμέναι* A B′, deinde add. Arm. *καὶ λυγκουρίου ποιότητος ἀνάθεσις* add. B′ *Μηδικοί* (*Νομαδικοὶ* Arm.) *τε κίονες τὰς κεφαλίδας ἐβενίναις χροιαῖς ἀπαστράπτοντες· ἀνδριάντες δὲ ἦσαν ἀναρίθμητοι χαλκοῖ*, cf. Arm. Syr. Leo (*columnae vero ipsius palatii erant ex ebeno*). 4 *ἀριθμῆσαι* A 5 *πόλους* A 6 *τοῖς τοίχοις ἐλ. ἦσαν ἐγγεγλυμμένοι* Byz. *χρώματος* om. B′ cett. (*currus . . . ebeno, cui concolor bestia* Val. 7 *προσβοσκήμασιν ἠλιώσαντες* A 8 *ἄλλοι τὲ ἵνα σὺν τοῖς κυσὶν* A, corr. e B′ cett. (*ἄλλοι* etiam Arm.) *ψήφου* B′: *ψυχῆς* A *καὶ βαρβ. — ὀπώραν* l. 13 om. BL 10 *αἱματήριον* A 11 *κυπ. ἐκ τῆς βοτάνης ὑπερέχουσαι* Arm. *χρυσόϋφος* A 12 *πακτοῦλον* A *συγκ. ἀνδρῶν στοιχηδὸν* om. cett. C *ἓν καθ' ἓν δίνδρων στιχηδὸν πετασθέντων ἀκμάσασαν ἐπιθυμητὴν* (?) *ἐν τοῖς κλάδοις εἶχον ὀπ.* Arm. *arboribus convirescunt . . . cypros denique gentiliter vocant fructu suavi . . . divites* Val. Possis *ἐπὶ συχνῶν δένδρων στιχηδὸν ⟨τεταγμένων⟩* (sive *στιχηρῶν*) *πέπειρα ἤ. ὀπώρα* 16 *ἑαυτοῦ* A add. e B′ 17 *δὲ*: *igitur* Val. sententiae aptum 18 *lychnitem* Val. 19 *αὐτοῖς* Arm. *τρίκλινον μέγα* Arm. *ἀμιάντων* B′ Arm.: *αἱμάτων* A 20 nempe *ὑπὸ* (sic B′) *ᾠκονομεῖτο* A 21 *τὸν θ. ἀπὸ* A 22 *ἐπὶ* Müll.: *ὑπὸ* A

Ἀλέξανδρος τῇ βασιλίδι Κανδάκῃ· ʻταῦτα πάντα ἄξιον θαυμάζειν, εἰ παρὰ
τοῖς Ἕλλησιν ἐτύγχανε καὶ οὐ παρὰ σοί, ὅτι καὶ ὄρη τοιαῦτα τυγχάνει
ποικίλα'. παρωργίσθη Κανδάκη καὶ εἶπεν· ʻἀληθῶς εἴρηκας, Ἀλέ- 10
ξανδρε.' ὁ δὲ ἔκθαμβος γενόμενος τῷ ὀνόματι ἀπεστράφη. ἡ δὲ εἶπε·
ʻτί ἀπεστράφης φωνηθεὶς Ἀλέξανδρος;' ὁ δὲ εἶπεν· ʻἐγώ, κυρία, Ἀντί-
γονος καλοῦμαι ἄγγελος Ἀλεξάνδρου'. — ʻκἂν Ἀντίγονος καλῇ, παρ' ἐμοῦ
βασιλεὺς Ἀλέξανδρος τυγχάνεις· ἄρτι δέ σοι δείξω.' καὶ κατέχουσα αὐτὸν 11
⟨τῆς χειρὸς⟩ εἰσφέρει εἰς τὸν κοιτῶνα αὐτῆς καὶ εἶπεν· ʻἐπιγινώσκεις
τὸν σεαυτοῦ χαρακτῆρα; τί τρέμεις; τί τετάραξαι; ὁ Περσολέτης, ὁ Ἰνδο- 12
λέτης, ὁ καθελὼν τρόπαια Μήδων καὶ Πάρθων νῦν χωρὶς πολέμων καὶ
στρατείας ὑποχείριος ἐγίνου Κανδάκῃ βασιλίσσῃ· ὥστε γίνωσκε, Ἀλέξανδρε,
ὅτι ὅστις δοκεῖ τῶν ἀνθρώπων φρονεῖν μέγα, ἄλλος μείζονα τούτου τὴν
φρόνησιν σχῇ'. Ἐθυμαίνετο δὲ ὁ Ἀλέξανδρος καὶ ἔτριζε τοὺς ὀδόντας· 13
εἶπεν ἡ Κανδάκη· ʻτί θυμαίνῃ; τί τρίζεις τοὺς ὀδόντας; τί δύνασαι
ποιῆσαι;' ... ὁ δὲ εἶπεν· ʻἐὰν εἶχον τὸ ξίφος μου, ἀνῄρουν σε πρώτην, 14
ἵνα μὴ ὑπῆρχόν σοι ὑποταγείς, εἶτα ⟨ἐμαυτόν, διότι⟩ ἐμαυτοῦ προδότης
ἐγενόμην'. ἡ δὲ εἶπε· ʻκαὶ τοῦτο γενναῖον καὶ βασιλικόν. ἀλλὰ μηδὲν
ἀγωνιάσῃς, Ἀλέξανδρε· ὡς γὰρ σὺ τὸ τέκνον μου καὶ τὴν γυναῖκα αὐτοῦ
ἀπὸ τῶν Βεβρύκων ἔσωσας, κἀγώ σε οὕτω φυλάξω πρὸς τοὺς βαρβάρους
μὴ εἶναι Ἀλέξανδρον. ἐὰν γὰρ γνῶσιν, ὅτι σὺ εἶ Ἀλέξανδρος, ἀναιροῦσί 15
σε εὐθέως, ὅτι καὶ σὺ Πῶρον ἀνῄρηκας· ἡ γὰρ γυνὴ τοῦ βραχυτάτου μου
υἱοῦ θυγάτηρ ἐστὶ τοῦ Πώρου. ὅθεν καλοῦ Ἀντίγονος· ἐγὼ γὰρ φυλάξω
σου τὸ μυστήριον'.

Ταῦτα εἰποῦσα συνεξῆλθεν αὐτῷ καὶ λέγει· ʻτέκνον Κανδαύλη καὶ 23
θυγάτηρ Μάρπησσα, εἰ μὴ κατ' εὔκαιρον εὑρήκειτε τὴν στρατιὰν Ἀλε-

1 εἰ: ὡς A 2 ὄρη ἐνταῦθα C Syr. nolui ὅθι 3 ποικίλα: *in denen vielfarbige Beryllsteine vorkommen und bunte Steine in verschiedenen Arten gefunden werden* Syr. 4 ἔξαρνος A ὀν. φωνηθεὶς B' Arm. ἐπεστράφης A 6 ἀγγ. εἰμι B' ἐμοὶ B' Arm. 7 δείξω τὸ συμβόλαιόν σοι (τὴν σὴν μορφὴν ἐγγράφως Byz.) B' (non Arm.) 8 add. B' Arm. Syr. post αὐτῆς add. καὶ φέρει αὐτῷ τὸ εἰκόνισμα αὐτοῦ B' Arm. Syr. Val. 9 περσωλέτης· ὁ ἰνδωλέτης· A 10 πολέμου B' Arm. cett. 11 ὥστε νῦν B' ἀπὸ τοῦ νῦν Arm. 15 add. Arm. ὁ τηλικοῦτος βασιλεύς;' ὁ δὲ λέγει· 'διὰ τοῦτο τρίζω τοὺς ὀδόντας καὶ θυμαίνομαι, ὅτι οὐκ ἔχω τὸ ξίφος μου.' λέγει ἡ κυρία· 'εἰ καὶ εἶχες τοῦτο, τί ἠδύνασο ἂν ποιῆσαι;' Cf. B' (ὡς ἐκρατήθης ὁ τ. β. γενόμενος γυναικὸς μιᾶς ὑποχείριος) Syr. Leo (*quid nunc facere poterit imperialis gloria tua?' et ille: 'irascor, quia non habeo gladium.' dixit et illa: 'si habuisses gladium, quid facere potueras?'*) Val. 16 σῆι (ἐπι) ὑποταγῆι A, possis ὑπῆλθον σὴν ὑποταγήν add. ex Syr. Leone 17 τί τοῦτο Arm. 19 Βεβρ. ληφθεῖσαν B' σε οὕτω Arm.: σὲ αὐτὸν A τοῖς βαρβάροις λέγειν (-γουσα) μὴ Arm. 20 add. Ἀντίγονόν σε καλοῦσα B' 21 μικροτέρου B' *iunioris* Val. 25 Ματέρσα A Ἄρπουσα fere B' Ἄρπησα Byz. *Marpesga* Arm. *Mergie* Val., corr. e Syr. Leone εὑρήκητε A

ξάνδρου, οὔτε ἐγὼ σὲ ἀπελάμβανον οὔτε σὺ τὴν γυναῖκά σου ηὕρισκες.
ὥστε ἄξιοι γενώμεθα τοῦ ἀγγέλου Ἀλεξάνδρου καὶ δῶμεν αὐτῷ δωρεάς᾽.
εἶπε δὲ ὁ υἱὸς αὐτῆς ὁ δεύτερος ⟨Κάραγος⟩. ʽἔστω, μῆτερ· Ἀλέξανδρός 2
μου διέσωσε τὸν ἀδελφὸν καὶ τὴν τούτου γυναῖκα· δῶμεν ὃ βούλει.᾽ ὁ
δὲ τρίτος υἱὸς αὐτῆς εἶπε· ʽμῆτερ, ἀπόστα. ⟨ἄχθεται⟩ ἡ ἐμὴ γυνή, ἀναι-
ρεθεὶς παρὰ Ἀλεξάνδρου ὁ πατὴρ αὐτῆς. καὶ αὐτὴ οὖν λυπῆσαι θέλει
τὸν Ἀλέξανδρον καὶ τὸν ἐκείνου ἄγγελον ὑποχείριον ἔχουσα ὧδε ἀναιρῆσαι,
τοῦτον τὸν Ἀντίγονον᾽. ἡ δὲ εἶπε· ʽκαὶ τί σοι ὄφελος, τέκνον, ἐὰν τοῦτον 3
ὧδε κολάσῃς; οὐδὲν μέλει Ἀλεξάνδρῳ, ἐὰν τοῦτον ὧδε ἀνέλῃς᾽. εἶπε δὲ ὁ
Κανδαύλης· ʽἀλλ᾽ ἐμοῦ οὗτος σωτὴρ ἐγένετο καὶ τῆς γυναικὸς καὶ δεῖ με
τοῦτον σῶον ἐκπέμψαι πρὸς Ἀλέξανδρον᾽. ὁ δὲ εἶπεν· ʽοὐκοῦν καὶ ἡμεῖς 4
ἕνεκα τούτου ὧδε συνάψωμεν πρὸς ἀλλήλους μάχην᾽. ὁ δὲ Κανδαύλης
εἶπεν· ʽἐγὼ μὲν οὐ θέλω· εἰ δὲ σὺ βούλει, ἑτοιμότερόν με εὑρήσεις᾽. ἡ 5
δὲ Κανδάκη ἀγωνιάσασα περὶ τῶν τέκνων, μὴ ἔλθωσιν εἰς μάχην, καὶ
λαβοῦσα τὸν Ἀλέξανδρον κατὰ μόνας εἶπεν· ʽπανταχοῦ φρενήρης γενάμενος
οὐδεμίαν δύνασαι ἀφορμὴν εὑρεῖν φρενῶν, ὅπως μὴ διὰ σὲ πολεμήσωσί
μου τὰ τέκνα;᾽ εἶπεν ὁ Ἀλέξανδρος· ʽ⟨Κάραγε καὶ σὺ⟩ Κανδαύλη, ἐάν με 6
ὧδε ἀναιρήσητε, οὐδὲν μέλει Ἀλεξάνδρῳ· οὐδὲ γὰρ οἱ ἄγγελοι τιμῆς τυγ-
χάνουσι πρὸς μάχην. ὥστε εἰ καὶ ἐμὲ ὧδε ἀναιρήσητε, ἔχει ἄλλους ἀγγέλους
πλείους ὁ Ἀλέξανδρος. εἰ δὲ βούλεσθε παρ᾽ ἐμοῦ τὸν ἐχθρὸν εὐάλωτον 7
λαβεῖν Ἀλέξανδρον, ὑπόσχεσθέ μοι δωρεῶν τι μέρος δοῦναι ἐνταῦθα, ἵνα
πρὸς ὑμᾶς καταμείνω καὶ ποιήσω ὧδε τὸν Ἀλέξανδρον παραγενέσθαι, ὡς
ὑμῶν βουλομένων ἃς ἡτοιμάσατε αὐτῷ δωρεὰς κατ᾽ ὄψιν ἀποδοῦναι, καὶ
τότε τὸν ἐχθρὸν ὑποχείριον λαβόντες ἑαυτοὺς ἐκδικήσαντες ἀναπαῆτε᾽.
Ἐπείσθησαν οἱ ἀδελφοί· ἡ δὲ Κανδάκη θαυμάσασα τῶν φρενῶν τοῦ Ἀλε- 8
ξάνδρου εἶπεν αὐτῷ κατ᾽ ἰδίαν· ʽἈλέξανδρε, εἴθε ἦς μου καὶ σὺ υἱὸς καὶ
διὰ σοῦ πάντων τῶν ἐθνῶν κατεκράτουν· οὐ γὰρ πολέμῳ ἐχειρώσω τὰς
πόλεις, ἀλλ᾽ ἀγχινοίᾳ πολλῇ.᾽ ἥσθη μὲν οὖν παρ᾽ αὐτοῖς δορυφορούμενος, 9
ἐγκρατῶς τῆς Κανδάκης φυλαττούσης αὐτῷ τὸ μυστήριον.

---

1 ἐσὺ τὴν A 2 δωρ. ἀξίως Arm. 3 υἷς A, quod ex υἷες derivasse potest auctor (cf. l. 5) *Karagos* Arm. l. 17, hic *Karabos*; *Charagos* Val. *Carator* Leo *Kerator* Syr. Filii varie confunduntur ἔστω scr. dub.: ἑστῶς A, om. cett. 5 υἷς A add. ex B′ Arm. Syr. ἀναιρεθεὶς ex ἀναιρεθὲν A, volebat ἀναιρεθέντος 9 μέλλει (item v. 18) A post ἀνέλῃς add. Arm. εἰσὶ γὰρ πλείονες θεράποντες Ἀλεξάνδρῳ τούτου 10 ἐγένου A ὅρκῳ ὀφείλω αὐτὸν σ. ἐ. Arm. 11 ὁ δὲ εἶπεν om. B′ Arm. 12 ὁ δὲ Κ. εἶπεν om. Arm. 13 ἕτοιμον Arm. (compar. etiam in B′) 16 ἐνθάδε οὐδ. Arm. Syr. 17 add. ex Arm. Syr. (*Carator, si me . . Leo*) 18 οὔτε A τιμὴ A πολύτιμοι B′ ἔντιμοι Raabe 19 ante πρὸς add. τοῖς βασιλεῦσιν, ἀλλ᾽ ἄχρηστοί εἰσιν αὐτοῖς Arm. 20 αἰχμάλωτον B′ 22 ποιήσω A: καταρτύσω B′ πείσω Arm. Syr. Byz. *ductem*? Val. 24 ἀναπ. ἀπὸ τοῦ θυμοῦ Arm. 26 ἦις A 28 ἴσθι B′ Arm. (Val.?), qui haec Candaces verbis adiungunt 29 εὐκρατῶς A B′ αὐτῷ: Ἀλεξάνδρου B′, et possis αὐτοῦ add. Arm.:

*Μεθ' ἡμέρας δὲ πορευομένου αὐτοῦ δίδωσιν ἡ Κανδάκη δῶρα βασι- 10
λικά, στέφανον ἀδαμάντινον πολυτάλαντον καὶ θώρακα δι' ουνιώνων καὶ
βηρύλλων χλαμύδα τε ἀστερυφεγγῆ ὁλοπόρφυρον διὰ χρυσοῦ, καὶ ἐκπέμπει
αὐτὸν μετὰ παραδοχῆς καὶ τῶν ἰδίων στρατιωτῶν.*

*῾Οδοιπορήσας δὲ τεταγμένας ἡμέρας ἔφθασεν ἐπ' ἐκεῖνον τὸν τόπον, 24
ἔνθα ἐν σπηλαίῳ εἶπεν αὐτῷ ὁ Κανδαύλης θεοὺς διαιτᾶσθαι. θύσας δὲ
τοῖς τόποις καὶ χοὰς σπεισάμενος εἰσῆλθεν ἔνδον μετὰ ὀλίγων στρατιωτῶν
καὶ ὁρᾷ ὁμίχλην ἀστεροφεγγῆ στίλβοντά τε ὀροφώματα ἀστέρων βολαῖς,
ἔξωθεν δὲ φαντασίαν εἰδώλων καὶ θροῦν σιγῇ δεδουλωμένον. καὶ ὁρᾷ 2
τινας ἀνακειμένους ἀστράπτοντας ἐκ τῶν ὀφθαλμῶν ὡς φέγγη, ἕνα δὲ λέ-
γοντα· ‛χαίροις Ἀλέξανδρε· οἶδάς με [τὸ] τίς εἰμι;' ὁ δέ· ‛οὔ, κύριε'. ὁ
δὲ † ναός· ‛ἐγώ εἰμι Σεσόγχωσις κοσμοκράτωρ βασιλεύς, συνδίαιτος [με] θεῶν
γενόμενος· οὐ τοσοῦτον δὲ εὐτύχησα ὅσον σὺ † καὶ σχῇς ὄνομα ἀθάνατον'.
ὁ δέ· ‛πῶς, κύριε;' ..... εἶπε Σεσόγχωσις· ‛καλὸν μὲν θνητὸν ὄντα μὴ 3
εἰδέναι, πότε τελευτᾷ· προσδεχόμενος γὰρ ἐκείνην τὴν ἡμέραν, ἀφ' ἧς
ἡμέρας ἔμαθεν, ἐτελεύτησε. τὸ δὲ ἐν ἀγνοίᾳ παθεῖν τοῦτο λήθην παρέχει*

ἀλλὰ συμβουλεύω σοι, ἵνα ἀπὸ τοῦ νῦν μηκέτι θαρρήσῃς σεαυτοῦ ἄγγελος εἶναι, ἵνα μὴ ὁμοιωθῇς τούτοις, οἳ τοὺς ἑαυτῶν ἐξάγειν πονοῦσιν

2 *πολύτιμον* B' Arm. *θώρ. πηνωτὸν* (*ὑφασμένον*) Arm. *διωνίων καὶ θηρύαλον* A, corr. ex Arm. Val. (B') 3 *ἀστεροφεγγὲς* A 4 *παρ. πολλῆς* B' *παραθήκης* Arm. *testimonio publico .. iubetque hominem deduci .. per satrapas* Val., possis *παροχῆς* 6 *ἔνθα ὃν σπήλαιον* A, possis alia 7 an *τοῖς* (*ἐντοπίοις?*) *θεοῖς?* cf. Leo 8 *ἀστροφ.* A 9 *ἔσωθεν* Ausf. (quod non est in Val.) *θρούην σιγὴν δεδουλωμένην* A, corr. ex Arm. (*murmur* Val.); *δεδηλωμένον* Ausf. add. B' (Arm. Syr. Val.): *ὁ δὲ Ἀλ. ἐδειλίασεν ἀπορίᾳ ληφθείς* (*animo confusus* Val.)· *ἐπέμεινε δὲ ἰδεῖν τὸ ἀποβησόμενον* 10 *λύχνων φέγγη* Arm. B' (Leo) 11 *οὔ*: *ποῦ* A 12 *ἵνα γνῷς, ἐγὼ* Rad. 13 *λήψῃ γὰρ* Arm. *ἔχεις γὰρ* B' *und ich der unsterblich bin, bin nicht so berühmt wie du* Syr. (= *καίπερ σχὼν*) 14 add. Arm. *εἶπεν· ‛ὅτι ἐγὼ ὁ ὅλην τὴν οἰκουμένην ὑποτάξας καὶ τοσαῦτα ἔθνη καταδουλωσάμενος ἀνώνυμός εἰμι, σὺ δὲ γενήσῃ περιώνυμος κτίσας τὴν περιπόθητον θεῶν* (*θεοῖς* Byz) *ἐν Αἰγύπτῳ Ἀλεξάνδρειαν. ἀλλ' εἴσελθε καὶ ὄψει τὸν πάσης τῆς φύσεως ποιητὴν καὶ προστάτην.' εἰσῆλθεν ὁ βασιλεὺς καὶ ὁρᾷ ὁμίχλην πυριφεγγῆ καὶ τὸν θεὸν καθεζόμενον ἐπὶ θρόνου, ὅν ποτε εἶδεν ἐν Ῥακώτιδι προσκυνηθέντα ὑπὸ τῶν ἀνθρώπων, τὸν κύριον Σάραπιν. εἶπε· ‛τί ἐστι τοῦτο, δαῖμον ἄφθαρτε, τῆς φύσεως γέννημα;* (*τί — γένν.* om. Syr.) *εἶδόν σε ἐν τοῖς κλίμασι Λιβύων ἐν θρόνῳ καθεζόμενον, καὶ νῦν ἐνθάδε πάλιν ὁρῶ σε.' εἶπε πλησίον αὐτοῦ ἑστὼς Σεσόγχωσις Ἀλεξάνδρῳ· ‛οὗτος πανταχοῦ φαίνεται ἐν ἑνὶ τόπῳ ἑστώς, ὥσπερ καὶ ὁ οὐρανὸς φαίνεται πανταχοῦ ὁ ἐν μιᾷ ὕψους στάσει ἑστώς.' εἶπε δὲ Ἀλέξανδρος· ‛κύριε θεός, πόσα ἔτη ζήσομαι;'* cf. Syr. Byz. Val. Leo (*tamen ingredere amplius et tunc videbis.' et vidi iterum aliam caliginem et quendam deum sedentem in sedio regali, et dixit mihi: ‛Quid est hoc' adiungens ‛nativitas sum ego deorum.' ego ‛te vidi in terra Libiae, et modo huc esse videris.' cui ego dixi ‛o Serapis, dic mihi, quantos annos adhuc victurus sum.'*) Contraxit haec B' cf. I 33, 11 15 *ὥραν* B' 16 *τοῦτο* Arm.: *τούτωι* A *τῷ δ' ἐν ἀγνοίᾳ ὄντι τῶν μελλόντων* B'; fort. praestat *τῷ δὲ ἐν ἀ. βαθείᾳ ὄντι τούτων* *παρέχειν* A; mire corrupit haec B'

τὸ μὴ ἔχειν κατὰ γνώμην, εἰ καὶ ὅλως τελευτᾷ. ἣν μέντοιγε κτίζεις πόλιν 3
περιφανὴς πᾶσιν ἀνθρώποις ἔσται· πολλοὶ δὲ βασιλεῖς ἐπιβήσονται τῷ
ἐδάφει σε προσκυνοῦντες ὡς θεόν. ⟨οἰκήσεις δὲ αὐτὴν καὶ⟩ θανὼν καὶ
μὴ θανών· τάφον γὰρ ἕξεις αὐτὸς ἣν κτίζεις πόλιν’.

Οὕτως εἰπόντος τοῦ ἀγγέλου ἐξέρχεται ὁ Ἀλέξανδρος· καὶ παραλαβὼν 25
τοὺς ⟨ἰδίους⟩ τὴν ὁδοιπορίαν ἐποιεῖτο. ὑπήντησαν δὲ αὐτῷ οἱ σατράπαι
καὶ ἔστεψαν αὐτὸν τῷ διαδήματι καὶ ἔδωκαν αὐτῷ τὴν βασιλικὴν ἐσθῆτα.
καὶ τὴν πορείαν ἐπὶ Ἀμαζόνας ἐποιεῖτο· γενόμενος δὲ παρ’ αὐταῖς ἔπεμψεν 2
αὐταῖς ἐπιστολὴν περιέχουσαν οὕτως· [Ἐπιστολὴ Ἀλεξάνδρου Ἀμαζόσιν.]

‘Βασιλεὺς Ἀλέξανδρος Ἀμαζόσι χαίρειν. τὴν μὲν πρὸς Δαρεῖον μάχην 3
οἶμαι ὑμᾶς ἀκηκοέναι. ἐκεῖθεν δὲ εἰς τοὺς Ἰνδοὺς ἐστρατεύσαμεν καὶ
εὑρόντες τοὺς † ἑπομένους αὐτῷ βασιλεῖς, ὄντας δὲ καὶ γυμνοσοφιστάς,
καὶ λαβόντες φόρον παρ’ αὐτῶν ἀφήκαμεν ἐπὶ τῶν ἰδίων τόπων μένειν
παρακαλέσαντας ἡμᾶς καὶ ἐν εἰρήνῃ τὴν χώραν κατεστήσαμεν, ὥστε ἡδέως
ἡμᾶς προσδέξασθαι καὶ θυσίαν ὑπὲρ ἡμῶν ποιῆσαι. ἐκεῖθεν δὲ ἀναζεύγ- 4
νυμεν πρὸς ὑμᾶς· ὑμεῖς οὖν συναντήσατε ἡμῖν· οὐ γὰρ ἐρχόμεθα κακο-
ποιήσοντες, ἀλλ’ ὀψόμενοι τὴν χώραν, ἅμα δὲ καὶ ὑμᾶς εὐεργετήσοντες.
ἔρρωσθε.’

Ταύτης τῆς ἐπιστολῆς ἀναγνωσθείσης γράφουσι καὶ αὐταί· [Ἐπιστολὴ 5
Ἀμαζόνων Ἀλεξάνδρῳ.] ‘Ἀμαζόνων αἱ κράτισται . . Ἀλεξάνδρῳ βασιλεῖ
χαίρειν. γεγράφαμέν σοι, ὅπως εἰδῇς πρὸ τοῦ σε ἐπιβάλλειν ἐπὶ
τοὺς τόπους, ἵνα μὴ ἀδόξως ἀναλύσῃς· διὰ τῆς ἐπιστολῆς διασαφοῦμέν
σοι τὰ κατὰ τὴν χώραν ἡμῶν καὶ ἡμᾶς οὔσας σπουδαίας. ἐσμὲν γὰρ
τοῦ Ἀμαζονικοῦ ποταμοῦ πέραν· οἰκοῦμεν δὲ ἐν νήσῳ· ἔστι δὲ τὸ περί- 6
μετρον αὐτῆς ἐνιαυτοῦ ⟨πορεία⟩. κύκλῳ δὲ ποταμὸς οὐκ ἔχων ἀρχήν·
ἔστι δὲ μία πρόσοδος. ἐσμὲν δὲ αἱ κατοικοῦσαι παρθένοι ἔνοπλοι

---

1 ἦν: τὴν A   2 περιφανῆ A   cf. I 33 v. 30 sqq.   3 ὡς πρὸς θεῶν A, cf. supra v. 34 et Arm.   add. B′ Arm.   4 αὐτὴν ἕξεις B′   5 ἀγγ. etiam Arm. Syr.: αὐτοῦ B′   παραλαβόντος τοῦ τὴν A, add. ex B′ cett.   7 τὸ διάδημα A   8 παρ’ αὐτῶι A παρ’ αὐτὰς B′   12 ἐσομένους A εὑρ. ἐκεῖ ἄνδρας γενναίους τοὺς ἡγουμένους αὐτῶν καὶ τοὺς βασιλέας καὶ τοὺς γυμν. Arm., ἡττήσαμεν τοὺς ἡγουμένους αὐτῶν B′, unde corrigas τοὺς ἡγ. αὐτῶν β. ὄ. [δὲ] καὶ   13 ⟨μὴ⟩ λαβ. Ausf. cl. c. 6   τὸν ἴδιον τόπον A   14 παρακαλέσαντες A   καταστήσαντες A   15 προσδέξασθε et ποιήσατε l. Val. Byz.   ὑπὲρ scr.: περι A pro Val.   ποιήσειαν A   16 ἡμῖν γηθοσύνως B′ Val.   17 εὐεργετήσαντος A   20 ἀμαζῶναι κρ. A Ἀμαζόνες (-νων B′) αἱ κρ. καὶ ἡγούμεναι τῆς στρατιᾶς (τ. στρ. om. B′) Arm. B′ (Syr.) *Amazones potentissimae atque fortiores omnibus militiis* Leo, cf. p. 126, 15   21 ἴδησ A   22 nimis delicatum prae auctoris inscitia, ἵνα — 23 σοι parenthesi includere   23 σπ. τῇ διαίτῃ B′ ἐσμὲν γὰρ γενναῖαι καὶ ἀνδρεῖαι Arm. (Syr.) ἐσμὲν Arm.: ἔσωθεν A et B′, qui om. δὲ post οἰκ.   24 νήσῳ Arm. Syr.: μέσῳ A   25 add. Arm.   ἀρχήν: *neque initium neque finem* Leo Syr. Byz.   26 ἔν. αἳ ἀνδρῶν πεῖραν οὐκ ἔχομεν Arm. Leo

μυριάδες κ'· ἄρσεν δὲ παρ' ἡμῶν οὐδὲν ὑπάρχει· οἱ δὲ ἄνδρες πέραν τοῦ 7
ποταμοῦ κατοικοῦσι τὴν χώραν νεμόμενοι. ἡμεῖς δὲ κατ' ἐνιαυτὸν ἄγομεν
πανήγυριν, ἱπποφονίαν θύουσαι τῷ Διὶ καὶ Ποσειδῶνι καὶ Ἡφαίστῳ ἐπὶ
ἡμέρας λ' ... ὅσοι δὲ βούλονται διακορεῦσαί τινας ἐξ ἡμῶν, καταμένουσι
πρὸς αὐτάς· καὶ τὰ θηλυκά, ὅσα ἂν τίκτωσι, γενόμενα ἑπτέτη διαβιβάζουσι
πρὸς ἡμᾶς. ὅταν δὲ πολέμιοι ἐπιστρατεύωσι πρὸς ἡμᾶς, ἐκπορευόμεθα 8
ἐφ' ἵππων αἱ πλεῖσται μυριάδες κ'· αἱ δὲ λοιπαὶ τὴν νῆσον φυλάττουσιν.
καὶ ἐρχόμεθα εἰς συνάντησιν ἐπὶ τὰ ὅρια· οἱ δὲ ἄνδρες ὄπισθεν παρατε-
ταγμένοι ἀκολουθοῦσιν. καὶ εἴ τις ἂν ἐν τῷ πολέμῳ τραυματίας γένηται 9
... προσκυνεῖται † διὰ τῆς ἡμέρας ἐπίετε φρέκετε ... συγγενείαις στέφανος
ἀείμνηστος ὑπάρχει. εἴ τις δ' ἂν πέσῃ ἐν τῷ πολέμῳ ὑπερμαχοῦσα, αἱ
ἔγγιστα αὐτῆς χρήματα λαμβάνουσιν οὐκ ὀλίγα. ἐὰν δέ τις σῶμα ἀναγάγῃ
τῶν ἐναντίων, πρόκειται ἆθλον χρυσοῦ καὶ ἀργύρου πλῆθος καὶ σίτησις
διὰ βίου. ὥστε ἡμᾶς ἀγωνίζεσθαι ὑπὲρ τῆς ἰδίας δόξης. κἂν πολεμίων 10
κρατήσωμεν ἢ φύγωσιν, αἰσχρὸν αὐτοῖς καταλείπεται εἰς ἅπαντα τὸν χρόνον·
ἐὰν δὲ ἡμᾶς νικήσωσιν, ἔσονται γυναῖκας νενικηκότες. ὅρα οὖν βασιλεῦ,
μὴ τὰ αὐτά σοι συμβήσεται. στεφανοῦμεν δέ σε κατ' ἐνιαυτόν, ὅσον ἐὰν 11
σὺ τάξῃς. βουλευσάμενος δὲ ἀντίγραψον ἡμῖν· εὑρήσεις δὲ ἡμῶν τὴν
παρεμβολὴν ἐπὶ τῶν ὁρίων.'

---

1 *μυριάδες* B' Arm. Val.: *χιλιάδες* A *CCXIV milia* Leo *CCLXXX milia* Syr. (*κζ'* B') 3 *ἱππ. οὖσαι τὸν δία* (α inc.) A *ἡφαίστου* A *Ἡφ. καὶ Ἄρει* B' 4 add. Arm. *καὶ οὕτω περῶμεν πέραν τοῦ ποταμοῦ πρὸς τοὺς ἄνδρας, καὶ οὗτοι ποιοῦσι πρὸς ἡμᾶς τὴν συνουσίαν ἐφ' ἡμέρας λ'* = Syr. Leo Val. *ὅσοι*: item Leo: *qui vult manere in laetitia cum sua uxore, tenet eam per unum annum. quod si mulier parturiens peperit masculum, tenet eum secum pater.* At Arm. *ὅσαι δὲ βούλονται φθείρεσθαι ἡμῶν, περῶσι* ⟨*καὶ*⟩ *καταμένουσιν ἐκεῖ παρὰ τοῖς ἀνδράσιν* = B' Syr. (*... und wenn eine schwanger wird, so bleibt sie, bis sie gebiert, auf ihrer Stelle*) recte *βουλεύονται* A 5 *αὐτάς*: add. Leo *quod si mulier parturiens peperit masculum, tenet eum secum pater* *ὅσα ἀντιστῶσιν* A *ἑπτέτη* cett.: *ἓξ ἔπη* A 6 *πολέμοι* A 7 *αἱ πλεῖσται*: displicet *ὁπλῖται* *πλ. δ\ κ'* A (cf. Gardthausen Palaeogr. II 371) *μυριάδες ιβ'* B' *πλείονες μυριάδων ιβ'* Arm. *XX milia* Val. *C milia* Leo *CXXX milia* Syr. 8 *ὅρια* Arm.: *ὄρη* A B' Leo 9 *ἐν*: *ἐπὶ* A 10 add. Arm. *τρέφονται ἐπὶ τῆς ἱερᾶς τραπέζης Διός, καὶ πᾶσαι προσκυνοῦσιν αὐτὴν δύο ἡμέρας, καὶ τῶν συγγενῶν στ.* Val. *redeuntibus mos est honorem pro vulneribus numerari ... corona aurea redimitae salutamur atque adoramur a ceteris et publicis conviviis adhibemur.* Plura nec sana Syr., in quibus corona de ara Iovis memoratur. *πρ. διὰ τῆς ἡμετέρας ἀγερωχίας* (fuitne *γερουσίας*?) *κ. στεφθεῖσα ἀείμν. ὑπ.* B' *στεφάνους προσλαμβάνουσι παρὰ πασῶν καὶ γέρα, καὶ συγγενέσι ταῖς αὐτῶν ὑπάρχει πλείστη μνήμη* Byz. In A *δύο ἡμέρας* et *στέφεται* agnoscas 11 *ὑπερμ. τῆς χώρας* Arm. *οἱ ἔ. αὐτοῦ* A 13 *τὸ ἐναντίον* A 14 *δόξης* A: *χώρας* Arm. 15 *χρ. ὄνειδος* B' 16 *νενικηκότες* B' (Syr.): *νικῶντες* A 18 *συντάξῃς* Arm. C *quanto tu iusseris* Val. 19 *ὄρεων* C Syr. Leo

.... [Ἐπιστολὴ Ἀλεξάνδρου Ἀμαζόσιν.] ‘Ἀλέξανδρος βασιλεὺς Ἀμα- 26
ζόσι χαίρειν. τὰ τρία μέρη τῆς οἰκουμένης κεκυριεύκαμεν, καὶ οὐ διελίπαμεν
τρόπαια κατὰ πάντων ἱστάντες. αἰσχρὸν οὖν ἡμῖν ἀπολειφθήσεται, ἐὰν
μὴ στρατευσώμεθα ἐφ’ ὑμᾶς. εἰ μὲν οὖν θέλετε ἀπολέσθαι καὶ ἀοίκητον 2
τὴν χώραν τὴν ἑαυτῶν γενέσθαι, μείνατε ἐπὶ τῶν ὁρίων. εἰ δὲ βούλεσθε
εἰς τὴν ἰδίαν [πόλιν] οἰκεῖν καὶ μὴ πεῖραν πολέμου λαβεῖν, διαβᾶσαι τὸν
ποταμὸν ὄφθητε ⟨ἡμῖν⟩. ὡσαύτως δὲ καὶ οἱ ἄνδρες ταξάτωσαν ἑαυτοὺς 3
ἐν τῷ πεδίῳ. καὶ ἐὰν ταῦτα πράξητε, ὄμνυμι πατέρα ἡμῶν Δία καὶ
Ἥραν καὶ Ἄρην καὶ Ἀθηνᾶν νικαφόρον μὴ ἀδικῆσαι ὑμᾶς. ἀλλὰ καὶ ὃν
δὰν βούλεσθε φόρον λήψομαι παρ’ ὑμῶν, καὶ οὐκ ἐλευσόμεθα εἰς τὴν
ὑμετέραν γῆν. ἃς δ’ ἂν κρίνητε, ἐφίππους ἐξαποστείλατε πρὸς ἡμᾶς· 4
δίδομεν δὲ κατὰ μῆνα ἕκαστον ἑκάστῃ χρυσοῦ μνᾶς ε’· μετὰ δὲ [τὸν] ἐνιαυ-
τὸν αὗται μὲν ἀπελεύσονται ἐπὶ τὰ ἴδια, ἑτέρας δὲ ἀποστείλατε. βουλευσά-
μεναι οὖν περὶ τούτων ἀντιγράψατε ἡμῖν. ἔρρωσθε.’

... Ἐπιστολὴ Ἀμαζόνων Ἀλεξάνδρῳ. ‘Ἀμαζόνων αἱ κράτισται καὶ 5
ἡγούμεναι βασιλεῖ Ἀλεξάνδρῳ χαίρειν. διδόαμέν σοι ἐξουσίαν ἐλθεῖν πρὸς
ἡμᾶς καὶ θεάσασθαι ἡμῶν τὴν χώραν. τασσόμεθα δέ σοι διδόναι κατ’
ἐνιαυτὸν χρυσοῦ τάλαντα ρ’ καὶ τὰς κρατίστας φ’ ἐξαπεστάλκαμέν σοι εἰς
συνάντησιν, φερούσας σοι τὰ χρήματα καὶ ἵππους γενναίους ρ’. αὗται ἔσονται 6
παρὰ σοὶ τὸν ἐνιαυτόν· εἴ τις δ’ ἂν διακορευθῇ ὑπὸ ἀλλογενοῦς, ἔσται ὡς τὰ
πάτρια ἐκβεβηκυῖα. γράψον δὲ ἡμῖν, ὅσαι ἂν παρὰ σοὶ καταμενοῦσι, τὰς δὲ
λοιπὰς ἐξαποστείλας λήψῃ ἄλλας. πειθαρχοῦμεν δέ σοι καὶ παρόντι ⟨καὶ 7
ἀπόντι⟩· ἀκούομεν γάρ σου τὴν ἀρετὴν καὶ ἀνδραγαθίαν· ἡμεῖς γάρ ἐσμεν
⟨οὐδὲν⟩ παρὰ τὴν οἰκουμένην πᾶσαν, ἣν ἐπελήλυθας, ὥστε ⟨σοι⟩ ἀντι-
ποιεῖσθαι πραγμάτων· ἐδόκει δὲ ἡμῖν καὶ ἐπὶ τῆς ἰδίας οἰκεῖν πειθαρχούσας.’

1 ὁ δὲ Ἀλ. ἐντυχὼν τοῖς γράμμασιν αὐτῶν καὶ μειδιάσας ἀντέγραψεν αὐταῖς οὕτως B′ cett. 2 τῶν τριῶν μερῶν B′ 3 ἐνστάντες A 5 ὄρεων C Leo Syr. 6 πόλιν: γῆν B′ Arm. Syr. 7 πόλεμον ὤφθ. A add. B′ Arm. παραταξ. B′ (at non C) 8 *Ammona patrem meum* Val. (ad sensum recte) καὶ ἐμὴν μητέρα add. (B′) Syr. 9 ἡμᾶς A 10 διαλήψομαι A 11 ὑμᾶς A 12 χρυσίου στατῆρα καὶ σιτηρέσια B′ post ε′ add. Arm. παρὰ ἄλλα τινά, Val. *praeter cetera*, Syr. *außer dem Unterhalt für Reiter und Pferde*, Leo *excepto quod eis* (*equis* Pfist.) *fecerimus* 13 βουλευσάμενοι A 15 add. Arm. αὗται δὲ βουλὴν ποιησάμεναι ἔγραψαν αὐτῷ ἀπόκρισιν περιέχουσαν οὕτως, cf. B′Syr. ἀμαζῶναι κράτ. A 16 ἡγ. τῆς στρατιᾶς Arm., cf. p. 124, 19 18 ρ′: ς′ Val. καὶ τὰ κράτης τὰς A 19 συν. εἰς τὰ ὅρια Arm. B′ ἐφίππους A Arm. B′ (non C) 20 διακορεσθῆι ἐπὶ ἄλλου γένους A ὡς: εἰς A μενέτω παρ’ ὑμῖν B′ γενέσθω ἐν τῇ χώρᾳ ἀσεβήσασα Arm. 21 εἰσβεβηκ. A 22 add. B′ Arm. Syr. 23 ἡμεῖς: εἰ μὴ A τί γάρ ἐσμεν Arm. *was hätten wir vor den übrigen Bewohnern des Erdkreises voraus?* Syr. ἡμεῖς γὰρ παρὰ τ. οἰκουμένην οἰκοῦμεν B′ (non C). Nolui στιγμὴ γάρ ἐσμεν 24 σοι add. Arm. 25 hic longior narratio in Arm. (quem potissimum sequor) Val. Syr. (usque ad p. 127, 15 etiam in C), cuius pars (ad p. 127, 9) in initium sequentis epistulae transiit in B

⟨Ταῦτα δὲ συντάξας τὴν ὁδοιπορίαν ἐποιεῖτο εἰς τὴν Πρασιακὴν γῆν. σφόδρα δὲ εἰς ἀθυμίαν ἦλθον οἱ στρατιῶται· θέρους γὰρ μεσάζοντος Ζεὺς οὐκ ἐπαύσατο ὕων ἡμέρας τεσσαράκοντα, ὥστε τοὺς τῶν ἀσπίδων ἀναφορέας ὑπὸ τοῦ ὕδατος σήπεσθαι, ἔτι δὲ καὶ τοὺς τῶν ἵππων χαλινούς. καὶ πολλοὶ τῶν πεζῶν τοὺς πόδας διαβεβρεγμένοι ἐτρώθησαν διὰ τὴν ἀνυποδησίαν. μόλις δὲ παυσαμένου τοῦ ὑετοῦ καῦμα ἐγένετο τοσοῦτον, ὥστε μηδένα δύνασθαι φέρειν· ἐγένοντο δὲ καὶ βρονταὶ μέγισται καὶ ἀστραπαὶ ἔπιπτον πυκναί, ὥστε φωνὰς περιτρέχειν † ὑπὸ τῶν στρατιωτῶν. μέλλων δὲ διαβαίνειν τὸν Ὕπανιν ποταμὸν ἐπυνθάνετο τῶν ἐγχωρίων περὶ τοῦ πλήθους τῆς τοῦ βασιλέως δυνάμεως, ὃς πέραν ἦν ἐν τῇ Πρασιακῇ γῇ. ἦν δὲ αὕτη παρὰ τὸν ὠκεανόν. καὶ εἶπον αὐτῷ οἱ ἐγχώριοι, ὅτι εἰσὶν αὐτοῦ ἐλέφαντες ἐπὶ φάτνῃ πεντακισχίλιοι καὶ ἅρματα μύρια καὶ ἀνθρώπων πολλαὶ μυριάδες. ταῦτα ἀκούσας ὁ φρενήρης Ἀλέξανδρος προνομεύσας τὴν παραποταμίαν καὶ τὴν ἄλλην χώραν τῶν Ἰνδῶν καὶ οὕτω βωμοὺς κτίσας ἐμπύρους διὰ τοῦ στρατεύματος αὐτοῦ θυσίας τοῖς θεοῖς ἐτελείωσεν.

Παρέλαβε δὲ γράμματα παρὰ τοῦ σοφοῦ Ἀριστοτέλους περιέχοντα οὕτως· „Ἀριστοτέλης βασιλεῖ Ἀλεξάνδρῳ χαίρειν. ἀπορῶ σφόδρα ζητῶν, τί πρῶτον, ⟨τί⟩ ἔπειτα, τί ἔσχατον καταλέξω. ὁ γὰρ Ζεὺς μαρτυρεῖ καὶ ὁ Ποσειδών, ὅτι τῶν εὐτυχῶν ⟨σου⟩ καὶ ἐπιφανῶν καὶ περιφήμων ἔργων πρῶτον τοῖς θεοῖς πᾶσι καὶ θεαῖς χάριν ἔχω. πάντα γὰρ ἀγῶνα καὶ ἆθλον καὶ κίνδυνον ὑποδεξάμενος ἐν οὐδενὶ κατελήφθης. ἐν γὰρ τῇ τῶν Ἰνδῶν χώρᾳ δὶς καὶ πλεονάκις εἰς χειμῶνας εἰσπεσὼν διεσώθης· εἰς δὲ ἐκείνην τὴν χώραν ἐάν τις εἰσελθεῖν τολμήσῃ, ἐπιφανῶν καὶ θαυμαστῶν ἔργων δόξαν λήψεται. στρατηγίας γὰρ γενναῖος ἀγωνιστὴς ὢν ῥᾳδίως γιγνώσκεται, καὶ Νέστωρ τὴν βουλήν, καὶ ἐν τῇ μάχῃ γενναῖός τις Ὀδυσσεύς, ὃς

πολλῶν ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω.

λέγω γάρ σοι, ἃ περὶ τριάκοντα ἔτη πέπρακται· περὶ οὗ λέγουσιν·

1 *his* (sc. Amazonum litteris) *acceptis* Val. Πρασιακὴν Val.: τῶν Παρασαγγῶν Arm. (item v. 10) 2 ῥαθυμίαν Arm. C, corr. ex B θέρους Arm. Val.: ἡμέρας B′ 5 πεζῶν B: παίδων Arm. 8 ὑπὸ τ. στρ. C: περὶ τῶν ἐν τάξει Arm. *voces incertas resonantes audierant et portentuosa plurima eiuscemodi experti erant* Val. *daß viele von den Reitern vor Schreck auf ihr Antlitz fielen* Syr. 9 Ὕπανιν Val.: Πρύτανιν B′ om. Arm. *Zuta* Syr. 11 sq. Syr. haec: *o guter König, wir wollen dir 60 starke und kriegsgeübte Elefanten und 100 Myriaden Wagen geben, aber zieh fort aus unserem Lande*; sim. C 13 προενεύσατο εἰς τὴν π. C *limitem huiuscemodi loci sensim legens* Val. 16 *und von dort zog er weiter fort; auf diesem Wege traf ihn ein Brief* Syr. (cf. Val.) 18 cf. Od. ι 14 Scripsitne ὑστάτιον? *eamque mihi esse sententiam Iovem testem facio Neptunumque* Val. ad priora referens 25 Nestorem et Ulixem solus memorat Arm. 27 Od. α 3 28 *quis enim praedicationis finis istud capit, triginta ferme vix annos emensum te orientis omnis occidentisque dominari?* Val., cf. Syr.

‘Ἀλέξανδρος ὁ Μακεδὼν ἀπὸ δυσμῶν εἰς ἀνατολὴν ἦλθε, καὶ γηθοσύνως αὐτὸν παρέλαβον οἱ Αἰθίοπες καὶ οἱ Σκύθαι

οἱ μὲν δυσομένου Ὑπερίονος, οἱ δ᾽ ἀνιόντος.

ἄλλοι δέ, οἳ ἐτόλμων ἀντιτάσσεσθαί σοι, καὶ αὐτοὶ ἔπεμψαν δεόμενοι, ὅπως φίλος αὐτοῖς γένῃ. εὖγε, βασιλεῦ ἰσόθεε, ἔρρωσο.’

Ἀναλαβὼν δὲ τὸ στράτευμα ἦλθε καὶ ἐπορεύθη εἰς Βαβυλῶνα· καὶ παραγενόμενος ἐκεῖ λαμπρῶς ἐτιμήθη καὶ θυσίας προσήνεγκε τοῖς θεοῖς καὶ ἀγῶνα γυμνικὸν καὶ μουσικὸν ἐτέλεσεν.〉

Τούτων δὲ τῶν ἐπιστολῶν διαπεμφθεισῶν γράφει καθ᾽ ἑαυτὸν τὰ 27
πεπραγμένα Ὀλυμπιάδι τῇ μητρὶ ἐν ἰδίᾳ γραφῇ οὕτως· [Ἐπιστολὴ Ἀλεξ-
άνδρου Ὀλυμπιάδι].

Ὑπὲρ μὲν τῶν ἐν ἀρχῇ κατασταθέντων ἡμῖν ἕως τῶν κατὰ τὴν Ἀσίαν 2
πραγμάτων πέπεισμαί σε εἰδέναι ἐκ τῶν παρ᾽ ἡμῶν γραφέντων. ἐδόκει
δὲ καὶ περὶ τῆς ἄνω πορείας βέλτιον δηλῶσαί σοι. ποιησάμενος γὰρ 3
πορείαν ἐπὶ Βαβυλῶνα καὶ ἀναλαβὼν τῶν δυνάμεων μάλιστα χιλιάδας οβʹ
πάλιν ἐποιησάμην ἄλλην πορείαν καὶ παραγενόμενος ἀνὰ παρασάγγας ..
ἦλθον ἐπὶ τὰς Ἡρακλέους στήλας ἐν ἡμέραις ϛεʹ. ἔφησαν γὰρ τὸν Ἡρακλέα
ὅρους ποιῆσαι ἐν τῇ χώρᾳ, ἐν ᾗ ἐπορεύετο, στήλας βʹ, τὴν μὲν
χρυσῆν τὴν δὲ ἀργυρῆν, τὸ μὲν ὕψος πηχῶν ιγʹ, τὸ δὲ πλάτος πηχῶν
βʹ. ἐμοῦ δὲ μὴ πιστεύοντος, εἴ εἰσι σφυρήλατοι, ἔδοξέ μοι θῦσαι τῷ 4
Ἡρακλεῖ καὶ ἐκτρυπῆσαι μίαν τῶν στηλῶν· ἐφάνη δέ μοι ὁλόχρυσος.
ἐγένετο δέ μοι πάλιν ἀναπληρῶσαι τὸ τρύπημα, καὶ εὑρέθησαν χρυσοῖ
͵αφʹ ἀναλωθῆναι. ἐντεῦθεν δὲ ἀναζευγνύω δι᾽ ἐρήμου καὶ κρημνώδους 5
χώρας· ὑπὸ δὲ τῆς ὁμίχλης οὐκ ἦν ἰδεῖν τὸν παρεστῶτα ὅστις ποτέ ἐστιν.
περὶ μὲν οὖν τῶν τόπων ταῦτα· ἐβαδίζομεν δὲ ἀνὰ παρασάγγας. . [δι᾽ 6
ἡμερῶν εʹ] καὶ ἤλθομεν ἐν ἡμέραις ζʹ ἐπὶ τὸν καλούμενον Θερμώδοντα
ποταμόν, ὃς ἐξερεύγεται .. χώραν πεδινὴν καὶ εὐδαίμονα. ὧδε δὲ ᾤκουν 7

2 *Bactra te vidit* add. Val. 3 Od. α 24 6 *kehrte er mit seinem Heere um, um nach B. zu ziehen* Syr. 9 Ἐν τούτοις δὲ γενόμενος pergit Arm. *atque inde iam pacificum iter coeptans* Val. Transitio in A ad contextum qui nunc est aptus; cui cum similis in Arm. post alterum illum extet, dubites uter textus antiquus sit καθεαυτῶν A, volebat τὰ καθ᾽ ἑαυτὸν aut γρ. τὰ ὑπ᾽ αὐτοῦ πεπρ. 10 σαφῆι A 12 ὑπὲρ scr.: ὑπὸ A 13 ἡμῖν A 15 *a Babylone* Val. Syr. Leo μάλ. δυναμένων (o) οβʹ A (cf. 125, 7) τὰς ἰσχυροτάτας μυριάδας ιεʹ Arm. *quos magis strenuos in exercitu habebam* Val. *C milia* Val. Syr. Leo 16 mirum παραγ. 17 ἡρακλείους A ϛεʹ Arm. Val. Syr.: κεʹ A 18 ποιεῖσθαι A *quod hasce metas peregrinationis suae fixerit* Val. 19 ιγʹ A: ιβʹ Arm. Syr. Leo ιεʹ Val. 22 ἐγένετο A: ἔδοξε Arm. 23 ͵αφʹ A Arm. Leo: *D* Val. *MCCC* Syr. exp. ἀναλωθέντες ἀναζευγνύων A ἀναζευγνύουσι (sine δὲ v. 24) Arm. (Val.) 25 τὸν τόπον A καὶ ἐκ τῶν τ. τούτων ἐπορεύθημεν καὶ ἐβ. Arm. inclusa om. Arm. 26 θερμοδότην A hinc rursus inc. Bʹ 27 ἐξερεύεται A ἐξέρχεται vel ἐκπορεύεται Bʹ ὃς ἔρχεται καὶ εἰσβάλλει εἰς τὸν Πόντον, χώραν πεδ. διαρρέων . . . Arm. *per plana* .. *loca* . . *pervaganti* Val. πεδινῶν A

Ἀμαζονίδες γυναῖκες τῷ μεγέθει ⟨καὶ κάλλει⟩ ὑπερέχουσαι καθ' ὑπερβολὴν
τῶν λοιπῶν γυναικῶν καὶ κάλλιπποι. ἐσθῆτα δὲ φοροῦσιν ἀνθινήν· ὅπλοις
δὲ ἐχρῶντο ἀργυραῖς ἀξίναις· σίδηρος δὲ καὶ χαλκὸς οὐκ ἦν παρ' αὐταῖς.
συνέσει δὲ ἦσαν καὶ ἀγχινοίᾳ κεκασμέναι. καὶ παρέβαλλον † τῷ δήμῳ 8
παρὰ τὸν ποταμόν· οὐ γὰρ ἦν εἰς τὸ πέραν διαβῆναι, οὗ αἱ Ἀμαζόνες
ᾤκουν. ἔστι γὰρ ὁ ποταμὸς μέγας καὶ ἀδιάβατος· ἔχει δὲ θηρίων πλῆθος
καὶ λίθων μεγάλων. αὗται δὲ διαβᾶσαι παρετάξαντο ἡμῖν.

Καὶ λαβόντες παρ' αὐτῶν φόρους ἀνεχωρήσαμεν ἐπὶ τὴν Ἐρυθρὰν 28
θάλασσαν εἰς τὸν στενὸν τόπον· ἦν δὲ ἐκ δεξιῶν [τόπος καὶ] ὄρος ὑψηλόν,
τὸ δὲ ἐξ ἀριστερῶν θάλασσα ἐπέκλυζεν. θύσαντες δὲ τῷ Ποσειδῶνι 2
[ἵππους] πώλους ι' καὶ ἀναπαυσάμενοι ἀνεζεύξαμεν καὶ ἤλθαμεν ἐπὶ τὸν
Ἄτλαντα ποταμόν. ἐκεῖ δὲ οὐκ ἦν ὁρᾶν οὔτε τὴν γῆν οὔτε τὸν οὐρανόν·
ἦν δὲ ἔθνη πολλὰ καὶ παντοδαπὰ ἐκεῖ κατοικοῦντα· εἴδομεν γὰρ κυνο-
κεφάλους ⟨καὶ ἀκεφάλους⟩ ἀνθρώπους, οἵτινες τοὺς ὀφθαλμοὺς εἶχον ἐπὶ
τῷ στήθει καὶ τὸ στόμα ...

Ἀπὸ δὲ τοῦ τόπου τούτου ἦν γῆ ἀπέχουσα ... προσπλεύσαντες οὖν 3
εὕρομεν πόλιν τοῦ Ἡλίου, ἧς ἦν περίμετρον σταδίων ρκ' [Ἡλιοπολίτης],
πύργοι δὲ ἦσαν ιδ' χρυσῷ καὶ σμαράγδῳ ᾠκοδομημένοι· τὸ δὲ τεῖχος ἐκ 4
λίθου Ἰνδικοῦ. ἐν μέσῳ δὲ ἦν βωμὸς χρυσῷ καὶ σμαράγδῳ ᾠκοδομημένος,
ἔχων ἀναβαθμοὺς ξ', ἐπάνω δὲ ἐφεστήκει ἅρμα ἵππων ἐκ χρυσοῦ καὶ
σμαράγδου· ἰδεῖν δέ αὐτὰ οὐκ ἦν ῥαδίως διὰ τὴν ὀμίχλην. ὁ δὲ ἱερεὺς τοῦ 5
Ἡλίου Αἰθίοψ ἦν ... εἶτα εὕραμεν σκότος· ἔδοξε δέ μοι πάλιν θῦσαι τῷ Ἡλίῳ

---

1 add. ex Arm. Val. Syr. Leone 2 *καλλίποδες* A, corr. ex Syr. Leone (*κάλλει καὶ εὐρωστίᾳ σπουδαῖαι* B', sim. Arm.) 3 *εἰσθρῶντο* A *ὀξίναις* A 4 *τεταγμέναι* A *κεκοσμημέναι* B' (Arm.) *παρέβ.*: haec turbata, *παρεμβολὴν δὲ λαβόντων ἡμῶν* Arm. *iungentes nos ad ipsum fluvium* Leo. Fuitne *παραβαλόντων ἡμῶν* (ita B') *παρὰ τ. π.* (*οὐ . . . μεγάλων*) *αὗται* [*δὲ*]? 5 *ἀμαζῶναι* A 7 *μελάνων* Arm. *asperitates* Val. 9 *στ. τόπον* A Arm.: *Τένοντα ποταμόν* B' *νάπος* Rad. 10 *ἐξαριστερὸν* A 11 *πολλοὺς* A *τῇ δευτέρᾳ ἡμέρᾳ ἀνεζ.* Arm. Val. 12 *ἄτλαν* C (L) *πράτιον* B'. Etiam Epit. Mett. 63. 84 mare rubrum et Atlanticum copulat 14 add. ex Arm. Val. C *εἶχον ἐν τῷ στόματι* B' (Byz.) 15 *τρωγοδύτας* add. Arm. (*τρ. οἳ ὑπὸ γῆν κατῴκουν ἔθνη ἄγρια*) Val. B' (hic etiam plures) 16 *τόπου*: *ποταμοῦ* B' *ἦν*: *ἡ* A *ἡμέρας μιᾶς πλοῦν* suppl. Arm. *longius quam unius diei navigatione separatam* Val., aliter B' C 17 *εὕρωμεν* A *ξ'* Val. Aeth. 18 *ιδ'* A Arm.: *ιβ'* B' Byz. *ὠικοδομημέναι* A *ᾠκ. ἕκαστος αὐτῶν εἶχεν ἀναβ.* (om. cett.) Arm. 20 *ξ'* Arm. C Byz.: *ζ'* A B' *ἵππων* A C Byz.: *ἵππιον* B' *καὶ ὁ ἱππηλάτης* add. B' C Val. 22 sacra Soli facta suppl. Arm. (*καὶ θύσαντες τῷ ἡλίῳ, ἐπεὶ οὐχ εὕρομεν φῶς, ἀναζεύξαντες ἐπορεύθημεν ἐκεῖθεν. προηγοῦντο δὲ ἡμῖν κανδηλοφόροι Πέρσαι λαβόντες λαμπάδας ἀργυρᾶς φωτιζούσας* [*praevenientes nobis quasdam effigies numinum cernere fuit cum luminibus lampadarum* Val.]. *καὶ ἤλθομεν ἐπὶ Τάναϊν*) Val. Syr., alia B':

Ἐπεὶ δὲ οὐχ εὑρήκαμεν φῶς, πάλιν ἀνεχωρήσαμεν καὶ ἤλθομεν ἐπὶ 6
τὸν Τάναϊν ποταμόν, ὃς παρέρρει τὴν Ἀσίαν καὶ τὴν Εὐρώπην, καὶ ἤλθομεν
ἐπὶ τὰ Κύρου βασίλεια καὶ Ξέρξου καὶ κατελάβομεν πολλὰς καὶ σπουδαίας
οἰκίας χρυσοῦ καὶ ἀργύρου γεμούσας καὶ ἐπίσημα ποτήρια [τε] πολλὰ καὶ
ἄλλα σπουδαῖα. ἦν δὲ ὁ οἶκος μέγας προμήκης, οὗ αὐτὸς ὁ βασιλεὺς 7
εἴθιστο χρηματίζειν, ἐν ᾧ ἔφασαν ὄρνεον ἀνθρωπίνῃ φωνῇ ἑρμηνεύειν
† ἡνίκα ἂν τὰς πρω † ἦν γὰρ ἐν μέσῳ τῆς ὀροφῆς ὀρτυγοτροφεῖον χρυσοῦν 8
κρεμώμενον, ἐν ᾧ ἦν ὄρνεον ἡλίκον ⟨περιστερά⟩· τοῦτο ἔφασαν ἑρμηνεύειν
τοῖς βασιλεῦσιν· ἐν αὐτῷ δὲ ἔφασαν εἶναι χρόνον ἱκανόν. βουλομένου δέ
μου καθελεῖν αὐτό, ὅπως ἀποστείλω σοι, ὁ ἱερεὺς ἔφασκεν αὐτὸ ἱερὸν εἶναι.
Ἔτι δὲ ἐν τοῖς βασιλείοις τοῖς ἐν Σούσοις ἔστιν κρατὴρ ἀργυροῦς 9
χωρῶν μετρητὰς τξ', ὃν καὶ ἐξεμετρήσαμεν ⟨ἐν⟩ τῷ μεγάλῳ δείπνῳ, ὅτε
τὴν θυσίαν ἐποιησάμεθα τῶν Σωτηρίων. ἦν δὲ [ὁ] οἶκος κατεσκευασμένος
εἰς τὸν Ἑλληνικὸν ῥυθμόν, ἔνθα αὐτὸς ὁ βασιλεὺς εἴθιστο χρηματίζειν.
ἐκεῖ ἔκειτο μὲν ἐν τῷ μέσῳ θρόνος χρυσοῦς· ὧδε ἔφασαν τὸν βασιλέα 10
καθέζεσθαι, ὅταν πρέσβεσιν Ἕλλησι χρηματίζῃ. ἦν δὲ ἐνταῦθα καὶ ἡ
Γλαύκου τέχνη, ἐναρμόνιος λύρα αὐτομάτως κρουομένη· κύκλῳ δὲ ἔκειτο 11
τοῦ θρόνου κυλικεῖον χρυσοῦν πηχῶν ις' ἔχον ἀναβαθμοὺς ιβ' καὶ ἄλλο

βύσσον καθαρὰν ἐστολισμένος· ἐλάλησεν ἡμῖν βαρβαρικῇ φωνῇ, ὥστε ἀναχωρεῖν ἡμᾶς τ. τόπου ἐκείνου. κ. ἀναχωρήσαντες ἐκεῖθεν περιεπατήσαμεν ὁδὸν ἡμερῶν ἑπτά (*πέντε* Byz.) *ἔδοξε* — 130, 7 *ἦν*: uberiora praebet B′ *πάλιν*: iterata sacra testatur Val.

1 *οὐκ* A 2 *Asiam fertur Europamque discernere* Val. (Syr.) 5 *ἄλλα ἱκανά* Arm. 6 *χρηματ.* sensu linguae communis = negotia tractare, responsa dare (Ditt. Syll.[3] IV 625); *χρησμοὺς παρὰ τῶν θεῶν παραλαμβάνειν* perperam Arm. Syr. dele *ἐν ᾧ* — 7 *πρω* praeter *ἀνθρ. φ.*, quae infra ad *ἑρμην.* transferenda sunt *ὄρνεα ὃν ἡ φωνὴ* A 7 *ἡνίκα ἂν τὰς πρω* A solus: ortumne ex *ἡλίκον* v. 8? *ἐν μέσῳ* Arm.: *ἔσηι* A (nolui *ἔσω*) *ὀρτυγομῆτρα χρ. κρεμμώμενον* A 8 suppl. ex B′ Arm. Val. Syr. Leone *τοῦτο* — 9 *ἱκανόν* om. B′ loco eorum de oraculo Alexandro dato narrans; qui hanc narrationem infra repetit *ἑρμ. ἀνθρωπίνῃ φωνῇ* (*ἀν. φ.* etiam B′), *ὅταν φωνῶν τῶν προσπιπτουσῶν αὐτῷ ἀκούσῃ* Arm., cf. Val. ***quod ubi responsa rex diceret, humanis vocibus sciscitanti loqui ferretur*** 9 *χρόνους πολλούς* etiam Arm. *βουλομένωι* A 10 *αὐτῶι* A *ἔφασεν αὐτῶι* A 11 *Σούσοις* Arm. Syr.: *νεοῖς οὓς* A; ceteris Susorum mentio deest *ἀργυρὸς* A 12 *τξ'*: *ξ'* B′ *δείπνῳ* Arm. Val. B′: *μεδίμνωι* A in B′ haec admodum aucta 13 *οἶκος μέγας, ἐν ᾧ ἐγέγραπτο ἡ Ξέρξου πρὸς τ. Ἀθηναίους ναυμαχία* Arm. ***vas istud . . erat . . caelatum navalibus proeliis, quae Xerxes apud Peloponnesum militaverat*** Val. (cf. B′ Syr.). Similia Philostr. v. Ap. I 25, 2 15 an del. *ἐκεῖ*? *χρυσός* A post *χρυσ.* add. *καὶ ἐπάνω αὐτοῦ σκηνὴ χρυσῇ* Arm. ***ein Baldachin*** Syr. pro *ὧδε* — *χρηματ.* diversa habet Val. 16 *προσβῆις ἑλλησ/ χρηματίζειν* A *δὲ καὶ ἐντ. ἡ* A 17 *Γλαύκου τ.* proverbialiter (FHG II 288 fr. 77) 18 *κυλίκιον* A (item p. 131,2): *ποτηροθήκη* B′ *thecam poculorum* Val. *ἔχων* A *ιβ'*: *η'* B′ Syr. *καὶ* — *κζ'* unus A (Val.?) *ἄλλους* A

*παρὰ τοῦτο πηχῶν κζ'· ἐπάνω δὲ ἐφεστήκει ἀετὸς χρυσοῦς ὑπερέχων ταῖς
πτέρυξιν ὅλον τὸ κυλικεῖον. ἦν δὲ καὶ ἀναδενδρὰς ἑπτάκλαδος, ὅλη χρυσῆ,* 12
*καὶ λεύκη καὶ πλάτανος καὶ μυρσίνη, πάντα ταῦτα εὖ εἰργασμένα. περὶ
γὰρ τῶν λοιπῶν τί σοι μέλλω λέγειν; τοσαῦτα γὰρ ἦν, ὥστε ἀπὸ τοῦ
πλήθους μὴ δύνασθαι αὐτὰ μνημονεύειν.'*

Ταύτης δὲ τῆς ἐπιστολῆς πεμφθείσης Ὀλυμπιάδι τῇ μητρὶ μετ' 30
*ὀλίγας ἡμέρας, ὄντος αὐτοῦ ἐν Βαβυλῶνι καὶ μέλλοντος μεταλλάττειν τὸν
βίον, μεγάλην τινὰ ἔμφασιν ποιεῖται τὸ δαιμόνιον [καὶ] σημείου γεναμένου
τοῦδε. τῶν γὰρ ἐγχωρίων γυναικῶν ⟨τις⟩ ἔτεκε βρέφος, ⟨ὃ⟩ τὰ μὲν ἄνω* 2
*μέλη τοῦ σώματος ἕως τοῦ ὀμφαλοῦ εἶχε πάντα παιδός, τὰ δὲ ὑποκάτω
θηρίων ἀγρίων προτομαῖς ἐστεφανωμένα, ὥστε εἶναι ὅλον τὸν τύπον τῇ
γραφομένῃ Σκύλλῃ παραπλήσιον, εἰ μὴ τῇ τῶν θηρίων ἀλλοιώσει καὶ τῷ
πλήθει διήλλαττεν· ⟨ἦσαν γὰρ αἱ προτομαὶ⟩ λεόντων καὶ παρδάλεων καὶ
λύκων. καὶ τούτων μὲν ἦσαν αἱ μορφαὶ κινούμεναι καὶ εὔδηλοι πᾶσιν ...* 3
*ἅμα δὲ τῷ τεκεῖν τὴν γυναῖκα τὸ προειρημένον βρέφος ἐμβαλοῦσα αὐτὸ
εἰς τὸ προκόλπιον καὶ κατακαλύψασα παρεγένετο εἰς τὴν αὐλὴν Ἀλεξάνδρου
καὶ λέγει· 'Εἰσαγάγετέ με πρὸς τὸν βασιλέα· ἔχω γάρ τι περιχρήσιμον
αὐτῷ ἐμφανίσαι.' Ὁ δὲ ἐτύγχανεν ἀναπαυόμενος ἔν τινι κοιτῶνι μέσον* 4
*ἡμέρας· ὡς δὲ διηγέρθη καὶ ἤκουσε ⟨περὶ⟩ τῆς γυναικός, προσέταξε καλεῖν
αὐτήν. ἡ δὲ εἰσελθοῦσα προσέταξε τοὺς ἔνδον μεταστῆναι· ἐξελθόντων* 5
*δὲ πάντων ἀποκαλύψασα ἔδειξεν αὐτῷ τὸ γεννηθὲν τέρας ⟨φάσκουσα αὐτὴ
τετοκέναι⟩.*

Ἰδὼν δὲ αὐτὸ ὁ Ἀλέξανδρος ἐθαύμασε καὶ τοὺς μάγους καὶ τοὺς 6
*Χαλδαίους συγκαλεσάμενος ἐκέλευσε τὴν σύγκρισιν ποιήσασθαι περὶ τούτων,
ἀπειλήσας αὐτοῖς θάνατον ἢ ζημίαν, ἐὰν μὴ εἴπωσι τὴν ἀλήθειαν. ἦσαν* 7

1 κζ' A: π' Val. χρυσὸς A 3 μερσύνιος A 4 λοιπ. θεαμάτων B' τίς θήσειν μέλλων A 5 ad μνημ. add. ἐν ἡμέρᾳ μιᾷ B' 6 hinc usque ad p. 144, 12 narratio admodum congruit cum Epit. Mett. Initium epistulae formam habet in BL Byz. Leone 11 προτομαῖς (B') cett.: πρότερον μὲν A τῆς γραφομένης κυλλὴ A *cuiusmodi pingitur Scylla* Epit. 12 τὴν τ. θ. ἀλλόκωσιν A (nolui ἀλλοκοτίᾳ) 13 διήλλαττεν παρὰ τῶν λεόντων A add. ex B' cett. 14 *quarta canis quinta apri* add. Epit., cf. Val. (ubi praeterea *ursi* ut in Syr.) Arm. λεόντων καὶ ἀγρίων κυνῶν (hi etiam in Syr.) omissis cett. B' κατὰ τούτων A ὥστε γινώσκειν τὸν ἑκάστου τύπον· ἡ δὲ τοῦ παιδίου προτομὴ ἦν τεθνηκυῖα suppl. B' *omne puerile corpus mortuum erat ac lividum* Epit., cf. Arm. Val. (Syr.) 15 τοῦ τεκεῖν A 17 λέγει τῷ σωματοφύλακι Arm. τῷ ἀγγέλῳ B' περὶ χρησίμων Arm. περί τινος πράγματος θαυμαστοῦ B' (Epit. Val.) 18 ἐν τῷ B' Arm. 19 add. ex B' Arm. 20 ἡ δὲ εἰσελθ. (= Val.) aut nomin. absol. aut corr. τῆς δὲ εἰσελθούσης ex B' Arm. cett. 21 add. ex B' Arm. Val. Epit. (Syr.) 24 σημειολύτας Χαλδ. Arm., cf. B' Syr. 25 an del. ἤ? ἢ ζημίαν ἢ θάνατον Arm. *mortemque interminatus est* Epit. B' Byz. (Syr.)

δὲ οἱ ἐπιδοξότατοι καὶ συνετώτατοι τῶν Χαλδαίων ε'. ὁ μὲν εἷς αὐτῶν
κατὰ [μὲν] τὴν τέχνην πολὺ διέφερεν, ὃς οὐκ ἐτύγχανε κατὰ τὴν πόλιν
παρεπίδημος ὤν. οἱ δὲ παρόντες ἀπεφήναντο ἰσχυρότατον καὶ φοβερώτατον 8
ἔσεσθαι τὸν Ἀλέξανδρον τοῖς πολεμίοις καὶ κυριεύειν πάντων τῶν ἀνθρώπων
.... καὶ οὐδένα ἄλλον αὐτοῦ εἶναι καρτερώτερον. καὶ οὗτοι μὲν ταῦτα 9
εἰπόντες ἀπηλλάγησαν· μετ' αὐτοὺς δὲ παραγίνεται ὁ ἄλλος Χαλδαῖος ἐκ
τῆς ἀποδημίας πρὸς Ἀλέξανδρον καὶ ἰδὼν τὴν διάθεσιν τοῦ σημείου ἀνε-
βόησε μέγα καὶ τὸ ἱμάτιον διέρρηξε δεινοπαθῶν καὶ ἐδάκρυεν ἐπὶ τῇ
μεταλλαγῇ τῇ μελλούσῃ γενέσθαι περὶ τὸν τηλικοῦτον Ἀλέξανδρον.

ὁ δὲ Ἀλέξανδρος ἰδὼν αὐτὸν περιπαθῆ γενόμενον ἠγωνίασεν οὐ 10
μετρίως καὶ ἐκέλευσεν αὐτὸν θαρροῦντα λέγειν τὰ ἐκ τοῦ σημείου θεω-
ρούμενα. ὁ δὲ λέγει αὐτῷ τάδε· 'Βασιλεῦ, οὐκέτι σὺ ἐν τοῖς ζῶσι κατα- 11
ρίθμητος εἶ, ἀλλὰ τὸ σῶμά σου λέλοιπε τὴν ἀνθρωπίνην φύσιν.' Τοῦ δὲ
Ἀλεξάνδρου ἀπαιτοῦντος αὐτὸν περὶ τοῦ τυχόντος ἀπεκρίθη αὐτῷ· 'Κράτιστε 12
πάντων, ὁ μὲν τύπος ⟨ὁ⟩ ἀνθρώπινος σὺ εἶ, τῶν δὲ θηρίων αἱ μορφαὶ
οἱ περί σε ὄντες. εἰ μὲν οὖν τὸ ἄνω μέρος ἔζη καὶ ⟨ἐν⟩ κινήσει ἦν,
καθάπερ καὶ τὰ ζῷα τὰ ὑπὸ τοῦτο ὄντα ... ὥσπερ οὖν καὶ τοῦτο μετέστη 13
ἐκ τοῦ ζῆν, οὕτω καὶ σὺ κεχώρισαι εἰς τοὺς μηκέτι ὄντας, ⟨καὶ⟩ ὃν
τρόπον τὰ θηρία τὰ ὑπὸ τοῦτο ὄντα οὐ συμφωνοῦσιν, ἀλλὰ ἔχουσιν
ἄγριον τὴν διάθεσιν πρὸς τοὺς ἀνθρώπους, οὕτως καὶ οἱ περί σε ὄντες
διάκεινται πρός σε. ἔσται δὲ πολὺς συγκλυσμὸς [σοι] κατὰ τὴν οἰκου- 14

1 εἷς: nomen *Philippus* indicat Epit. sola 2 πολλὴν A melius ⟨ὃς⟩ κατὰ ... διέφερεν, οὐκ 4 πολέμοις A κυριεύσειν suadet B', non Arm. 5 καρτερώτατον A post καρτ. add. τὰ δὲ ζῷα τὰ ἀλκιμώτατα ἔφασαν εἶναι τὰ ἔθνη ὑποτεταγμένα τῷ ἀνθρωπίνῳ σώματι B' τὰ δὲ ζ. τὰ ἀ., ἃ τῷ ἀ. σώμ. ὑπέκειτο, ἔφ. σημαίνειν τῶν ἰσχυροτάτων αὐτὸν κυριεύειν καὶ οὐδένα ἄλλον αὐτοῦ εἶναι ἰσχυρότερον Arm. cf. Epit. Ergo lac. ante καὶ οὐδένα 8 *vestimenta* Epit., cf. Arm. B' 9 περὶ: ἐπὶ A 12 οὐκέτι συνετοὶ ζῶσιν καταρίθμητοι, ἀλλὰ A, corr. Müll. (οὐκέτι συγκρίνῃ τοῖς ζ. B', sim. cett.) 13 λέλυται τῆι ἀν(θρ)ωπίνηι φύσει A 14 τυχόντος A *qua ratione id diceret* Epit., an συντυχόντος? αὐτὸς A 15 *bestiarum simulacra quae vides gentes sunt ferae ac barbarae, quibus tu imperas* Epit. *quicumque tibi subditi sunt et subiecti* Val. cf. Syr. (legitne ὑπὸ σὲ? *qui post te veniunt* Leo) τὰ στρατεύματα τὰ περὶ σὲ ὄντα Arm. 17 ὑπὲρ τοῦτον A εὐάρμοστον ἦν καὶ ἀγαθὸν τὸ σημεῖον suppl. C ἔμελλες ἂν πάντων ἄρχειν· νῦν δὲ τοῦτο αὐτό, ὃ τέθνηκε, τὸ ἄνω μέρος ἐστί, τὰ δὲ θηρία ζῇ Arm. *esset ut tu imperium in eas obtineres* Epit. (cf. Val.). Ellipsin vetustam (καλῶς ἂν εἶχεν) subesse non puto 19 τούτων A B' οὐ συμφωνοῦσιν scr. (possis etiam σωφρονοῦσιν): τούτωι φωνὴν A οὔτε τὴν φρόνησιν οὔτε τὸν νοῦν οἰκείως ἔχει πρὸς τοὺς ἀνθρώπους Arm. *ut hae bestiae humano generi sunt infestae* Epit. οὐδὲ γὰρ σωφρόνησιν ἔχουσιν, ἀλλὰ καὶ ἄγρια τυγχάνουσι πρὸς τοὺς ἀνθρώπους B' 20 ἀγρίωι τῆι διαθέσει A (fort. ἀγρίως) 21 ὅτε δὲ πολλοῖς συγκλεισμός A πολλαὶ δὲ συγχύσεις ἔσονται Arm. *brevi spatio tua morte orbis terrae imperia commutabuntur* Epit.

μένην σοῦ τελευτήσαντος, τῶν περί σε διενεγκάντων καὶ † περὶ αὐτοὺς ἀκροφώνουν.'

Οὕτως ταῦτα εἰπὼν ἐξῆλθεν ἔξω, τὸ δὲ βρέφος κατακαῦσαι ἔκρινεν 15
ὁ Χαλδαῖος. ὁ δὲ Ἀλέξανδρος ἀκούσας ταῦτα εἶπεν· 'Ὦ Ζεῦ, τὴν μὲν
ἐπιβολὴν δοίης ἡμᾶς ἐπὶ τέλος ἄγειν· εἰ δὲ οὕτως σοι ἔδοξε, δέχου κἀμὲ
τρίτον ὄντα θνητόν.' Τοῦτο δὲ ἐβούλετο λέγειν, ὅτι καὶ Διόνυσος διὰ 16
τὴν ἐπιφάνειαν τῶν ὑφ' ἑαυτοῦ κατεργασθέντων μετὰ τῶν θεῶν ἐστίν,
ὡσαύτως δὲ καὶ ὁ Ἡρακλῆς· τρίτον δὲ καὶ ἑαυτὸν ἔκρινε ⟨διὰ⟩ τῶν ἔργων
⟨τῶν⟩ ἀποδεδειγμένων εἰς ἅπασαν τὴν οἰκουμένην ἄξιον τοῖς θεοῖς
συνέστιον γενέσθαι.

Τῆς δὲ μητρὸς αὐτοῦ Ὀλυμπιάδος πλεονάκις γραφούσης περὶ τοῦ 31
Ἀντιπάτρου καὶ δεινοπαθούσης, ⟨ὡς⟩ σκυβαλίζεται μήτηρ οὖσα Ἀλεξάνδρου
καὶ λέγει μὲν Ἀντίπατρος ἃ βούλεται, καταγράφει δὲ αὐτῆς ἀτοπίαν·
(καὶ διὰ ταῦτα † πάλιν φαμένη εἰς Ἤπειρον διαδραμεῖν ἐβούλετο) Ἀλέξ-
ανδρος (διέγνω γὰρ τὴν ἐνεστῶσαν πρὸς τὴν μητέρα Ἀντιπάτρου λῦσαι
ἔχθραν καὶ μεταπέμψασθαι τὸν Ἀντίπατρον πρὸς αὐτόν) εἰς Μακεδονίαν
ἀπέστειλε Κράτερον. αἰσθόμενος οὖν ὁ Ἀντίπατρος τὴν ἐπίνοιαν Ἀλέξ- 2
άνδρου τῆς στρατιωτικῆς λειτουργίας ἐπεβούλευεν αὐτῷ φόνον, εὐλαβούμενος
μήποτε εἰς προπηλακισμὸν ἔλθῃ. καὶ γὰρ ἤκουε καὶ διελογίζετο τὸν Ἀλέξ-
ανδρον ἐπιδεδωκέναι πολὺ πρὸς ὑπερηφανίαν διὰ τὰς ἐπιτετευγμένας
αὐτῷ πράξεις. μεταπεμψάμενος οὖν [τὸ] τοξικὸν φάρμακον, οὗ τὴν δύναμιν 3
ᾔδει δεινὴν οὖσαν, καὶ ἐμβαλὼν εἰς ἡμιόνου χηλὴν ἐξεσμένην πρὸς τὸ
διασώζεσθαι τὸ πλῆθος τοῦ φαρμάκου (ἕτερον γὰρ ἀγγεῖον οὔτε χαλκοῦν
οὔτε κεράμινον κατίσχυεν ὑπενέγκαι τὴν δύναμιν, ἀλλ' εὐθέως ἐρρήσσετο)

---

1 *καὶ οἱ περί σε ὄντες ἀλλήλοις προσπεσόντες ἀλλήλους φονεύσουσιν* Arm. *hi inter se omnes te oppetente dissentient dimicabuntque* Val. *καὶ* dedi: *τὰ* A 2 languet *διαφώνων* vel *-νούντων*; fuitne *ἀλλήλους* (vel *αὐτοὺς*) *σαρκοφαγούντων*? 4—10 om. B′ 5 *ἐπιβουλὴν δι' ἧς ἡμᾶς* A *utinam conatus meos me perficere passus esses* Epit. *εἰ δὲ*: *δι'* A 6 *τρίτον* Epit. Syr. Leo: *τοιοῦτον* A. De tribus dis cf. Epit. 34 7 *ἐφ ἑαυτοῦ* A *εἰσὶν* A 8 *τρίτον*: *τρόπον* A 9 *ἀποδεδειγμένας* A *τοῖς*: *τε* A (et possis *τοῦ*) 11 cf. Epit. 87 *τοῦ*: *τῶν* A 12 *Ἀλεξάνδρου*: *ἀνθρώπου* A 13 *λέγει*: *ποιεῖ* Arm. B′ *γράφει κατηγορίαν καὶ ὄνειδος κατ' αὐτῆς* Arm. *consideravit Ant. facere causam et fecit, offerens illi malum nomen* Leo *δὲ*: *γὰρ* A *κατέγραφε γὰρ* Ausf. 14 *π. φ.* etiam Arm., an *πάλαι φθαμένη*? *petebatque ut ob id ipsum ad Epirum ire contenderet* Val. *βουλομένης αὐτῆς διελθεῖν εἰς τ. Ἤ. διεκώλυεν αὐτὴν Ἀντ.* CL (B′) 16 *αὐτὴν* A, corr. ex Arm. Val. *ἐκ Μακεδονίας* Arm. 17 *ἐπίν. Ἀλ. καὶ τὴν ἄφιξιν Κρατέρου κ. εἰδὼς τοὺς στρατιώτας ἀνακομιζομένους ἀπὸ Ἀλ. εἰς Μακεδονίαν καὶ Θεσσαλίαν* B′ sc. sentiebat munus militare, ad quod arcesseretur, praetendi. *ὑπόνοιαν* Rad. Seqq. usque ad p. 144, 14 fere om. Val. 19 *μὴ τότε* A *παραφυλακισμὸν* B′ 20 *ὑποτεταγμένας* A (valde detritum fol. 426 r usque ad p. 136, 10): *ἐπιτελουμένας* B′ 22 *ἡμιόνωι χολὴν ἐκζεσμένην* A 23 *πλῆθος* etiam Arm. *vim* Epit. *fortitudinem* Leo post *χαλκ.* add. *οὔτε ὑάλινον* B′

καὶ περικαθάψας πυξίδα σιδηρᾶν ἔδωκε Κασάνδρῳ τῷ υἱῷ καὶ ἐξαπέστειλε
ποιῆσαι ξένια Ἀλεξάνδρῳ λόγῳ συλλαλήσοντα Ἰόλλᾳ ἀδελφῷ περὶ τῆς τοῦ
φαρμάκου δόσεως.
Ἀφικόμενος δὲ ὁ Κάσανδρος εἰς Βαβυλῶνα καὶ καταλαβὼν τὸν Ἀλέξ- 4
ανδρον περὶ τὰς θυσίας ὄντα καὶ ὑποδοχὰς ξένων συνελάλησε τῷ Ἰόλλᾳ,
ἀρχιοινοχόῳ ὄντι τοῦ Ἀλεξάνδρου. τὸν δὲ Ἰόλλαν ἔτυχεν ὀλίγαις ἡμέραις 5
πρότερον Ἀλέξανδρος ῥάβδῳ καθιγμένος κατὰ τῆς κεφαλῆς διά τινα αἰτίαν
ἐξ ἀταξίας γεγενημένην, ὅθεν ὁ νεανίσκος προχείρως ὀργιζόμενος ἀσμένως
ὑπήκουσε πρὸς τὸ παρανόμημα. καὶ παρέλαβε Μήδιον Θεσσαλὸν Ἀλεξ-
άνδρου μὲν ὄντα φίλον, ἑαυτοῦ δὲ ἐραστήν. οὗτος δὲ συνηδικημένος τῷ
Ἰόλλᾳ διὰ τὴν διάθεσιν διετάξατο πρὸς αὐτὸν ὡς δώσων τὸ φάρμακον
πιεῖν. τοῦ δὲ Ἀλεξάνδρου ἡδέως γενομένου μετὰ τῶν παρόντων φίλων 6
καὶ τεχνιτῶν [καὶ] ⟨τῶν⟩ περὶ τὸν Διόνυσον (πολλοὶ γὰρ ἀπήντων εἰς
ἄνεσιν ἐν Βαβυλῶνι † τὸν Ἀλέξανδρον στεφανώσαντες καὶ κατ' ἰδίαν ἀγωνι-
σάμενοι τὴν ἐπιφάνειαν ἡδέως γενομένου † ἐπῆγον .... ἐξαναστάντος καὶ 7
ἀναπαύεσθαι βουλομένου προσῆλθεν αὐτῷ Μήδιος ἀξιῶν αὐτὸν εἰσελθεῖν
πρὸς τοὺς ἑαυτοῦ φίλους, φάμενος αὐτῷ συνῆχθαι τοὺς ἀναγκαιοτάτους
τῶν φίλων. τοιαῦτα δὲ αὐτοῦ διαλεχθέντος συνθεὶς Ἀλέξανδρος τῇ τοῦ
Μηδίου ψυχαγωγίᾳ παραγίνεται εἰς τὸ συμπόσιον. ἦσαν δὲ οἱ παρόντες 8
κ'· Περδίκκας Μελέαγρος Πύθων Λεόννατος Κάσανδρος Πευκέστης Πτολε-

1 *venenum paratum in pyxidem ferream coniecit, haec in ungutam mulinam ferro vinctam clusit* Epit. περικ. πυξίδι σιδηρᾷ C, fuitne περικαλύψας? ἔδωκαν A ἐξαπέστειλαν A 2 ξενίαν A *dona* Epit. 89 (cf. 96). Syr., om. B′ otiosum λόγῳ, nisi olim fuit ἐξ. λόγῳ μὲν ξ. κομίσαι Ἀ., ἔργῳ δὲ συλλ. συλλαλήσαντες A ἰούλωι A (et sic aut ἰουλλ- semper) 3 φ. δεινότητος κ. θανατηφόρου δυνάμεως B′ (cf. ad. v. 7) 6 πιγκέρνη B′ Ἀλ. λάθρα περὶ τ. τ. φαρμάκου δόσεως B′ 7 καθηγμένος A om. haec Epit. 8 πρόχειρος A 10 φίλος hic et v. 12 aulicum designat (Friedländer SG IV[10] 58) συνήιδει κείμενος A (cf. B′), nolui συνευδοκούμενος 11 διάθεσιν (sc. amorem): . . εσιν A (talia non adnoto nisi in plane incertis) διετάξ. etiam B′: exp. συνετάξ. δώσοντα τὸ (?) A πῶς δώσουσι B′ 12 cf. Epit. 97 13 τεχνιτῶν: κατενωτάτων A ἀπήντουν A 14 haec prorsus turbata: πολλοὶ ἐν Β. κατέστησαν εἰς τὸν ἀγῶνα Ἀλεξάνδρου στεφανοῦσθαι, καὶ κατ' ἰδίαν εἰς τὸν ἀγῶνα ἰόντος διὰ τ. ἐπιφανῆ δόξαν περιχαροῦς γενομένου τοῦ βασιλέως Arm. *cum autem sedisset Al. in convivio cum principibus ac militibus suis, coepit laetari atque iocundus esse ultra modum* Leo *weil . . . ihm Siegeskränze gebracht hatten* Syr. Fuitne (πολλοὶ . . . Βαβ. τὰ Ἀλεξάνδρεια στεφανωθησόμενοι) καὶ κ. ἰ. ἀγωνιζομένου ⟨καὶ διὰ⟩ τ. ἐ. ἡ. γ., ἔπειτα ἐξ. At ἡδέως γεν. e v. 12 repetitum vid., et possis στ. κ. κ. ἰ. ἀγωνισόμενοι ⟨διὰ⟩ τ. ἐ. [sc. Alexandri]), ἔπειτα ἐξ. καθιδίαν A 15 ἐ. ῆγον A ἔπειτα δὲ Arm. 16 βουλεύεσθαι A αὐτῷ τῇ ἐπαύριον B′ ἀξιοῦν A 18 συνθείς: . . θεὶς ut vid. A (non fuit πεισθεὶς [sic Arm. B′]) 20 nomina etiam in Arm. Mett., prorsus corrupta in Syr. Aeth. Hic om., infra (p. 135, 3) novem memorat B′ περδίκας A Μελέαγρος Arm. Epit.: μιλιανὸς (vel. μιδ-) A πύθων A: Πείθων Arm. (et ita vocatur nobilis regis dux) *erat teon* Epit. λιώνατος A nempe Ἄσανδρος (p. 135, 4) πόκεστος A

μαῖος Λυσίμαχος, Φίλιππος ὁ ἰατρός, Νέαρχος Κρής, Στασάνωρ, Ἡρακλείδης
ὁ Θρᾷξ ... Εὐρώπιος, Ἀρίστων Φαρσάλιος, Φίλιππος ⟨ὁ⟩ μηχανικός, Φιλώτας,
Μένανδρος ... τούτων δὲ τὸ μέλλον γίνεσθαι Περδίκκας τε καὶ Πτολεμαῖος 9
Ὀλκίας Λυσίμαχος Εὐμένης Ἄσανδρος οὐκ ᾔδεσαν, οἱ δὲ ἄλλοι πάντες
μετειλήφασι τῆς πράξεως καὶ συμπεφωνηκότες ⟨ἦσαν⟩ πρὸς τὸν Ἰόλλαν
καὶ Κάσανδρον καὶ δεδωκότες ὅρκους. ἐπεθύμουν γὰρ ἤδη πραγμάτων 10
καὶ τὰ τοῦ Ἀλεξάνδρου ὑφορῶντο [καὶ] τὸ τῆς ψυχῆς ὑπέρογκον αὐτοῦ
καταπλαγέντες. τοῦ δὲ Ἀλεξάνδρου ἀνακλινθέντος προσήνεγκεν αὐτῷ Ἰόλλας
τὸ ποτήριον. εἶθ' οὕτως τοῖς παροῦσι λόγου ἐμπεσόντος διατριβῆς ἕνεκεν, 11
τοῦ πότου διεληλυθότος ἱκανὸν χρόνον, ἐξαίφνης ὁ Ἀλέξανδρος ἀνεβόησεν
ὡς τόξῳ πεπληγὼς εἰς τὸ ἧπαρ· μικρὸν δὲ ἐπισχὼν χρόνον καὶ τὴν
ὀδύνην καρτερήσας ἀπῄει πρὸς ἑαυτόν, ἐντειλάμενος τοῖς παροῦσι πίνειν.
Οἱ δὲ ἀγωνιάσαντες ἔλυσαν παραχρῆμα τὸ συμπόσιον, ἔξωθεν καρα- 32
δοκοῦντες τὸ συμβησόμενον. ὁ δὲ Ἀλέξανδρος ἀπερᾶσαι βουλόμενος τὸ
πολὺ τοῦ οἴνου ᾔτησε πτερόν· εἴθιστο γὰρ οὕτως ἐμεῖν. ὁ δὲ Ἰόλλας
περιχρίσας τῷ φαρμάκῳ ἔδωκεν αὐτῷ· διὸ πολὺ ἐνήργει τὸ φάρμακον, 2
ἀκρατέστερον εἰς τὸ σῶμα προσενεχθέν. σπαραχθεὶς δὲ διὰ κενῆς ὁ
Ἀλέξανδρος καὶ συσχεθεὶς ὀδύναις ἐξαισίοις διενυκτέρευεν ὑπομένων καρτερικῶς. τῇ οὖν ἐρχομένῃ ἡμέρᾳ συνορῶν ἑαυτὸν ἐν κακοῖς διακείμενον καὶ λαλοῦντα ἀσαφῶς διὰ τὸ τὴν γλῶτταν ἤδη συνοιδᾶν μετεστήσατο πάντας, εἰ δύναιτο ἡσυχίας τυχεῖν ⟨καὶ⟩ ἰδιάσαι καὶ διαλεχθῆναι πρὸς ἑαυτὸν

